ἐν τῇ πόλει ἡμῶν· μᾶλλον δὲ ἐν τῇ ὑμετέρᾳ πόλει. ἐμοὶ μὲν γὰρ ὡς περὶ ἀλλοτρίας ἤδη οἱ λόγοι. ταυτὶ δὲ, ὁρᾷς γὰρ ὅσον ἐφ' ἡμῶν τούτων ¹ἐπιδίδωσιν τὸ ἐπιχώριον πάθος, ὠστρακισμένους ἡμᾶς καταψηφίσαιτο, τὸ καινόν γε τοῦτο ποιοῦντες, ἐκ τῆς φυγῆς φυγαδεύοντες. μὰ Δία ἀλλ' οὐδὲ φεύγειν ἐῶσιν, εὖ οἶδ' ὅτι φής· καὶ γὰρ ἔγωγε πέπυσμαι. Διότι ἡ φυγὴ μὲν ὀλίγον τι ἔδοξεν αὐτοῖς εἶναι τιμώρημα ἐπ' ἄνδρα τοιαῦτα καὶ τηλικαῦτα κατειργασμένον αὐτῶν τοὺς πολεμίους. θανάτῳ μέντοι δεδόχθαι σφίσιν αὐτοῖς κολάζειν ἡμᾶς. αὐτοῦ γε τούτου ἕνεκα, καὶ μαστῆρες Ἀθηναίων εἰς Ἄργος ²ἴασιν καὶ πάντες· ἕπονται δὲ αὐτοῖς καὶ Λακεδαιμόνιοι. ἐμὲ δὲ οὐκ Ἀθηναίοις ἐλύπουν ὦ Ἁβρώνιχε ἑπόμενοι Λακεδαιμόνιοι, Ἀθηναῖοι δέ με ἀνιῶσιν σπαρτιάταις ἑπόμενοι. Καίτοι οὐκ Ἀθηναίοις διαβάλλουσι πιστεύοντες οἱ τῶν Λακεδαιμονίων ἔφοροι Παυσανίαν ἐκόλαζον, ἀλλ' οὐδὲ τοῖς φίλοις τοῖς Παυσανίου, καὶ συνειδόσιν ἐκείνῳ τοὔργον ἅπαν, μόλις δ' αὐτῷ τῷ Παυσανίᾳ ὁμολογοῦντι. οἱ δὲ ὑμέτεροι οὐδενὶ τῶν ἀλλοτρίων, οὐδ' εἰ πολέμιος εἴη, ἐπὶ τοὺς ἰδίους ἀπιστοῦσιν. τὸ δ' αἴ-

τιον

¹ ἴσ. τοῦτο

² ἴσ. ἴασι διώκοντες

vestram: iam enim de illa mihi tanquam extranea loquendum est. Nunc autem; vides enim & ipse, quàm longè procedat nostra ætate malum hoc patrium: Ostracismo nos eiectos damnarunt, rem hanc nouam facientes, & è fuga fugãtes. Quid fugantes dico? nec fugere nobis permittunt; inquies: perlatum est enim ad me. Quandoquidem fuga exigua visa est illis pœna in hominem, qui hostes eorum tot tantisq. malis affixerit. mortis pœnam in nos constituere ipsis placuit. Atque ad hoc missi sunt Argos ab Atheniensibus indagatores, quos & Lacedæmonij sequuntur. Ego verò Habronyche, haud molestè fero, quòd Lacedæmonij sequantur Athenieẽses; sed doleo Athenienses esse Lacedæmoniorum asseclas. Quamquã Ephori Lacedæmoniorum non sumebant de Pausania supplicium; quòd fidem haberent criminationibus Atheniensiũ, aut Pausaniæ amicis totius rei conscijs; cum vix etiam ipsi Pausaniæ fatenti crediderint. At vestri in suos extraneorum nemini, etiam si hostis sit, fidem non habent. Cuius rei causam esse arbitror, quòd hi libentius inuidẽt amicis, quàm

Thucyd. lib. 1. Diodor. lib. 11.

alijs

alijs in odium veniant inimici. Cæterum ego, non quòd Athenienſes redarguere velim, hæc ſcribo. Si tamen, Dij boni, latebant. Nunc verò maior eſt laudantibus eos defenſionis inopia, quàm vituperantibus redargutionis neceſſitas. Sed hæc apud ſodalem, & amicum meum deflere aliquantum volui, deq. ſuo ſtatu eum admonere. Hoc enim magis tibi verendum eſt; quoniam Lacedæmonios videmus dominari in Athenienſibus, & facere Athenis ſcita populi in eos, quibus ipſi infenſi ſunt. Cur verò irati ſint, heus tu, probe
Plutar. in Themiſt. Diodor. lib. 11. ſcis; cauſa enim communis eſt mihi ac tibi: ſiquidem ambo legatione fungebamur ad eos, dum ſtratagemate vteremur pro vallanda muris vrbe Athenienſium. Nam Collegæ noAriſtides iuſtus. ſtro, quippe vt viro iuſto, quique ſibi merito cognomentum hoc rapuit, atque vnus apud Græcos raptum poſſidet titulum; conſpiratio cum Lacedæmonijs in nos videtur eſſe gratiæ reconciliatio. Sed valeat homo ſemper irarum tenax, maleuolus, & inuidus: atque vt Callæſchrus aliquando de eo dixit; Moribus magis [1] Alopecen-

[1] homo vulpinus.

που οἶμαι τούτου, διότι ἥδιον οὔ τοι τοῖς φίλοις φθονοῦσιν, ἤπερ ἄλλοι τοὺς ἐχθροὺς μισοῦσιν. ἀλλ' οὐκ Ἀθηναίους γε ἐλέγχειν ἐπιχειρῶν ἔγωγε λανθάνοντας ταῦτα γράφω· εἴ γε ὦ θεοὶ φίλοι ἐλάνθανον μόνον· νῦν δὲ τοῖς ἐπαινοῦσιν αὐτοὺς μᾶλλον ἄπορος ἡ συνηγορία, ἢ τοῖς ψέγουσιν ἀναγκαῖος ὁ ἔλεγχος. ἀλλὰ προσοδύρασθαι τί μοι ἔδοξεν ἀνδρὶ ἑταίρῳ ἐμαυτοῦ καὶ φίλῳ, ἔτι δὲ καὶ ὑπομνῆσαι τῶν οἰκείων· περὶ ὧν εὐλαβεῖσθαί σε καὶ [1] μᾶλλον, ὅτι Λακεδαιμονίους ὁρῶμεν Ἀθηναίων ἄρχοντας, καὶ ψηφιζομένους Ἀθήνησι κατὰ τῶν ἰδίων ἐχθρῶν ψηφίσματα. ἡ δὲ τῆς ὀργῆς αὐτῶν αἰτία, οἶσθα ὦ τᾶν, ὅτι ὁμοία μὲν ἐφ' ὑμᾶς, ὁμοία δὲ ἐπ' ἐμέ, ἐπείπερ ἄμφω τὸ στρατήγημα τῆς περιτειχίσεως τοῦ ἄστεος παρ' αὐτοὺς ἐπρεσβεύομεν. τῷ μὲν γὰρ συμπρεσβευτῇ ἡμῶν, ἅτε ἀνδρὶ δικαίῳ, καὶ δεόντως τοῦτο τοὔνομα ἁρπάσαντι, [1] μόνῳ εἰς τοὺς Ἕλληνας φερομένῳ ἁρπάκειν, ἔοικεν διάλυσις εἶναι πρὸς Λακεδαιμονίους ἡ σὺν αὐτοῖς ἐφ' ἡμᾶς ὁμοφροσύνη. ἀλλ' ἐκεῖνος μὲν ἐρρώσθω ἐπίκοτος ὢν ἀεὶ καὶ δυσμενὴς καὶ φθονερός· Καὶ ὥσπερ ποτὲ ἔφη Κάλλαισχρος ἐπ' αὐτοῦ, μᾶλλον

[1] ἴσ. δεῖ μᾶλλον

[1] ἴσ. μόνῳ τὲ εἰς τοὺς ἕλ. φερ. τὴν ἁρπαγήν

τῶν

τοῦ τρόπῳ ἀλωπεκῆθεν, ἢ τοῦ Δήμῳ. σὺ δ' οὖν Ἁβρώνυχε τὰ παρόντα εὖ τίθεσο. καὶ τῶν μελλόντων ἐκ τοῦ μηκίστου ἀντιλαβοῦ, καὶ δεδιέναι Ἀθηναίοις πολλοῦ ἄξιος εἶναι. εἰ δὲ καὶ πεφύκοις, ὥσπερ πέφυκας, ἀλλ' ἀποκρύπτου τὰ πλείω, καὶ ἀγάπα λανθάνων. ταῦτη μὲν ὦ βέλτιστε περὶ σοῦ πρὸς σέ. τῶν δὲ ἐμῶν τὰ μὲν ἐνθάδε ἐμοὶ μελήσει δῆλον ὅτι, καὶ διαφευξόμεθα τούς τε οἴκοθεν ἐπὶ τὴν θήραν ἡμῶν ὡρμημένους κυνηγέτας, καὶ τοὺς λακωνικοὺς κύνας. οὐδὲ ἐπιχειρήσομεν Ἀθηναίοις μὲν ἐναγέσι γενέσθαι τοῦ ἡμετέρου μύσους, καὶ παλαμναῖον ἢ ἀλιτήριόν τι περιστῆσαι τῇ πόλει, οὐκ [1] ἀρεστόν· οὐ δὲ [2] χαλκέοις ἀνδριάσιν ἀποδιοπομπήσει μὲν, οἷα περὶ Παυσανίου Σπαρτιάταις ὁ θεὸς ἔχρησεν· ἀλλ' [3] ἐναγῆ τινα, καὶ ἀφύλακτον, καὶ τοῦ Κυλωνείου πέρα. τοῖς δέ γε μὴν Λακεδαιμονίοις διπλῆ, μᾶλλον δὲ τριπλῆ ἡ ἡδονή· ἡμᾶς μὲν ἀποτισαμένοις ἀνθ' ὧν ὑπὲρ τῆς πρεσβείας τῆς μετὰ σοῦ δι' ἔχθους ἡμῖν ἐγένοντο, ἀπατηλὸν εἶναι λέγοντες ἡμετέραν τὴν κωλύμην αὐτῶν τῆς ἀδικίας· ἀλάστορα δὲ ἀκέραιον [4] καὶ ποίνιμον εἰς τὰς κεφαλὰς τῶν Ἀθηναίων ἐξορμήσα-

[1] ἴσ. ὅτε ἂν
[2] ἴσ. οὐ δὲ χαλκοῖς ἀνδ. ἀποδιοπομπήσαιεν.
[3] ἴσ. ἀλλ' ἐναγές τι
[4] ἴσ. ἄκαιρον

pecensis quàm gente. Tu verò Habronyche res tuas in præsenti cura, & in posterum quàm longissimè prouide, timetoq. ne magni fias ab Atheniensibus. Quòd si aptum te ad negotia gerenda sentis, vt re vera es, te tamen vt plurimum abde, & latere te stude. Hæc ad te, vir optime, habeo de te dicere. Quod ad me attinet, sane res hic ego meas curabo: & effugiemus domesticos venatores ad nostrã egtessos venationem, ac laconicos canes. nec sinemus Athenienses quidem contaminare se admisso in nos scelere, ac funesto & exitiali parricidio vrbem fœdare; quod nec statuis æneis expiare queant, vt Spartanis editum oraculum pro Pausania iussit; sed execrandum, & ineuitabile, ac Cylonio scelere maius. Lacedæmonios verò duplex, immo verò triplex gaudere gaudium: primò, si nos vlciscerentur ob susceptas inimicitias causa legationis tecum gestæ; si audi nobis dantes, quòd iniustæ eorum voluntati impedimento fuerimus. Deinde si me nefaria cæde sublato per Athenienses, eorum caput opportunè deuo-

Thucyd. lib. 1. Diodor. lib. 11. Plutar. in Solone.

ξα-

uouerent piaculari genio, qui vti vindex pœnas expeteret ab eis. Postremo, quod sese putarent infamia leuare, qua laborant apud Græcos, quandoquidē Lacedæmonis Rex prodebat ciues; si ab Atheniensibus ego quoque dux eorum videret sustinere pœnas vt proditor similes. Vt igitur nihil horum fiat, prospiciam ego, vt iam dixi, pro viribus. & hæc sunt quæ pro humano sensu cauemus. Cætera deinde, cum plane omnia nobis in tuto erunt, scies vniuersa, deq. singulis ad te scribam. Tu quoque sodalium optime, oro atque obsecro, adiuua quantum potes, & affer enixè opem. & pecuniam quidem nec mihi, nec liberis meis serua, sed in commoda filiorū ac matris eroga cum opus erit, & cautè. Tua verò cogitatio assidua in eo sit, vt nobis Cleophantum & sorores matrēq. serues incolumes. Certè vt alios beneuolentia complectaris, mea fortasse causa facis; nobis enim cōfidebas. Quāquā & propter Lysiclē filijū tuū & ipsi tibi seruanda beneuolentia est, & illi nequaquā reij-

ξαμένοις, ἀνοσίως ἐμοῦ μιαιφονηθέντος ὑπ' αὐτῶν· τὴν δὲ εἰς τοὺς Ἕλληνας αἰσχύνην, [1]ἐπιπροδιδοὺς σφᾶς ὁ βασιλεὺς τῆς Λακεδαίμονος, [1]ἐπικουφιεῖ οἰομένοις, εἰ καὶ πρὸς Ἀθηναίων ὁ στρατηγὸς αὐτῶν ἐγὼ προδότου δίκην ὁμοίως αὖ φαινοίμην κεκολασμένος. τούτων μὲν οὖν ἵνα μηδὲν γένηται, ἐγὼ προμηθήσομαι, ὥσπερ ἔφην, κατὰ τὸ δυνατόν. Καὶ ταῦτα δὲ νῦν ὡς ἐν ἀνθρωπίνῳ λογισμῷ ἐξευλαβούμεθα· καὶ τὸ λοιπὸν ἔπειτα, εὖ τελείως ἅπαντα ἐν ἀσφαλεῖ γένηται, πεύσῃ περὶ πάντων, καὶ καθέκαστα ἐπιστελοῦμέν σοι. τὰ δὲ αὐτίκα, ἀντιβολοῦμέν σε καὶ ἱκετεύομεν ὦ κράτιστε ἑταίρων, καὶ συλλαμβάνειν ὡς ἂν οἷός τε ᾖς, καὶ βοηθεῖν ἡμῖν ἄντικρυς, τὰ μὲν χρήματα μὴ φυλάττοντα ἐμοί, μηδὲ τοῖς ἐμοῖς παισίν, ἀλλὰ καιρίως ταῦτα καὶ δεξιῶς ὑπὲρ τῶν παίδων καὶ τῆς μητρὸς αὐτῶν ἀπολύοντα· αὐτὸ δὲ τοῦτο σκοπούμενος ὁσημέραι, ὅπως τὸν Κλεόφαντον ἡμῖν καὶ τὰς ἀδελφὰς αὐτοῦ καὶ τὴν μητέρα περισώσῃς· ὑπάρχει δέ σοι ἡ μὲν πρὸς τοὺς ἄλλους εὔνοια δι' ἡμᾶς ἴσως, ᾗ σὺ θαρσεῖς· καὶ διὰ Λυσικλέα δὲ τὸν υἱόν σου σοί τε αὐτῷ στερκτέα, καὶ ἐκείνῳ οὐκ ἀμελητέα. [1] εἰ μὲν ἀξιωθησόμεθα κηδεῦσαι ὑμῖν γενέσθαι, ὅτι σοὶ μὲν υἱός

[1] ἴσ. ἐπεὶ προδιδοὺς ἦν σφᾶς
[1] ἐπικουφιεῖν

[1] ἴσ. οἷς ἐθάρσεις

ἥξειν

ἐστιν, ἐκείνῳ δὲ γυνή. εἰ δὲ μή, ὅτι ἐμέλλησεν τι καὶ ἠλπίσθη ποτέ. Καὶ οἶμαι μὲν οὐδὲ τοὺς Ἀθηναίους αὐτούς, εἰ καὶ πάνυ λυποίη, καὶ μέγας γένοιτο ὁ τῶν μισούντων ἡμᾶς φθόνος, εἰς γυναῖον ἢ εἰς παιδάρια παροινεῖν ἐπιχειρήσειν, οὐδ᾽ ὕβρεις ἐπιτρέψειν. Εἰ δ᾽ αὖ λεπτή τις ἐλπὶς μόνον, μᾶλλον δὲ ἀμυδρὰ ἡ ὑποψία, ὀνείρῳ [1] ἡμᾶς ἴσον μενέτω, καὶ δὴ γινέσθω αὐτίκα δὴ βοήθεια τὸ δέος. τὸ δὲ οἷ πεμπτέον αὐτούς, καὶ ὅπως τὴν ἀπαλλαγὴν στελουμένους, τὸν παιδαγωγὸν οἶσθα τὸν Κλεοφάντου, ὃς κἀμέ ποτε ἐθεράπευσε· Σίκιννις [1] αὐτῷ τοὔνομα· ἐκείνῳ μόνον τὸ χρῆναι μὴ μένειν ὑπόθου· τὰ δὲ ἄλλα ἐπίσταται, καὶ δράσει αὐτός. ἀλλὰ γὰρ οὐχ οὕτως ἤδη μισητέον Ἀθηναίους ἡμῖν, ὥστε καὶ τοιαῦτά τινα περὶ αὐτῶν ὑπολαμβάνειν, οἷα οὔ τι ἐγένετο πώποθ᾽ ὑπ᾽ αὐτῶν, οἶμαι δὲ ὅτι οὐδὲ ἔστιν, οὐδὲ ἄρα γένοιτο· οὐδὲν γὰρ περιττὸν πάλιν [1] ἐν τοῖς οὕτως ἀναγκαίοις. Δεδήλωκά σοι τὸ χρεὼν ὑπὸ σοῦ πραχθῆναι, καὶ σὺ ποιήσεις δηλονότι, ἅπερ ἐγὼ ἐπισκήπτω. Ταῦτα μὲν οὖν ἐπῆγεν ἡμᾶς ἐδόκει γράφειν παρὰ σέ. μετὰ ταῦτα δὲ

[1] ἴσ. ὑποψία τοὺς ἄνδρας κατ᾽ ἡμῶν ἴσως μαίνεσθαι

Plutar. in Themist.

[1] Σίκιννος.

[1] ἴσ. περιοῦσιν ἐν τοῖς

reijcienda: si quidem indigni non sumus, quibus cum affinitare iungamini; quoniam tibi quidē filius est, ipsi verò vxor: Sin minus, at certè quia futurum olim expectabatur, & habebatur in spe. Cæterum nec ipsos Athenienses puto; licet odio in nos flagrantium sæuiat & crescat inuidia; debacchaturos in mulierculam & puerulos; aut permissuros vt alij contumeliosè tractent. Quòd si vel leue periculum sit, aut suspicio tenuis fore, vt homines forte insaniant in nos; metus in remedium abeat. Quò autem mittendi, aut qua via subducendi sint: nosti Cleophanti pædagogum, qui mihi quoque famulatus est; Sicinus [1] illi nomē. Huic significato tantum, non esse manendum: cætera scit ille, & efficiet. Verum non tanto in odio debēt esse nobis Athenienses, vt talia de eis opinemur, qualia nunquam egerunt. Nam nec ea mente illos esse arbitror, nec res eiusmodi fieri posse: cum vbi summa necessitudo est, nihil facere soleant, quod modum excedat. Exposui quod agendum tibi est; præstabis tu nimirum, vt ego mando. Hæc nos, vt scriberemus ad te, videbantur impellere. Quæ postea eue-

[1] Hui[9] Sicini opera vsum Themistoclem ait Plutarch. ad eludendum Xerxem in nauali prælio ad Salamina. Herod. lib. 8.

euenient, póstmodum tibi scribemus.

δὲ ὅτ' ἂν τὰ μετὰ ταῦτα γένηται, γράψομεν.

Argumentum XI. Epistolæ.

REfert Themistocles, vt fuga elapsus ab Admeto Molossorum Rege, ad quem supplex confugerat, exceptus, & sospes dimissus fuerit. quod non permissum sibi fuerit apud eum manere metu Atheniensium & Spartanorum. Hoc idem fusius tractat epistola xx. Thucyd. lib. 1. Plutarchus in Themist. Diodorus lib. 11.

Themistocles Temenidæ.
S.

APud Admetum ita nobiscum actum est', vt tua fuisset opinio. Non erat ille domi, quando ipsum adijmus, sed peregrè ad Chaonas iuerat. in tuos ergo, Cratesipolida & Stratolaum cum incidissemus, litteras illi reddidimus. Admetus verò non intra plures quàm octo, aut nouem dies rediji; nos autem ad focum sedebamus, ita enim iubebat Cratesipolis; Aribdam porro paruulum in manu tenebam, & altera gladium. Cum ergo me & puerulum vidisset Admetus, me quidem agnouit, & sat scio auersatus est; filiolum miseratus, pugionem extimuit. Inde me surgere iusso, negabat se posse mihi domi manenti salutem ferre, quòd Athenienses

Θεμιστοκλῆς Τημενίδᾳ
χαίρειν.

ΤΑ' ἐν Ἀδμήτου οὕτως ἡμῖν ἐπράττετο, ὅπως σὺ ἂν ἔδοξας. ὅτε μὲν οὖν ἥκομεν εἰς [1] αὐτοὺς, οὐκ ἔνδη- | 1 αὐτὸν
μος ἦν, ἀλλ' ἀπεδήμει εἰς Χάονας. ἐπιτυχόντες δὲ Κρατησιπόλιδι καὶ Στρατολάῳ τοῖς σοῖς, ἀποδίδομεν ἐκείνῃ
[1] γράμματα. Καὶ ὁ μὲν ἧκεν | 1 ἴσ. τὰ γράμ.
οὐ πολλῶν, ἀλλ' ὀκτὼ ἢ ἐννέα ἴσως [1] ἡμερῶν· ἡμεῖς δὲ | 1 ἴσ. που
ἐφέστιοι ἐκαθεζόμεθα, οὕτω γὰρ ἐκέλευεν ἡ Κρατησίπολις· Ἄριβδας δὲ ὁ μικρὸς ὑποχείριος ἦν ἐμοὶ, καὶ ξίφος ἐν θατέρᾳ. ἰδὼν οὖν ἐμὲ καὶ τὸ παιδίον ὁ Ἄδμητος, ἐμὲ μὲν ἐγνώρισεν, καὶ εὖ οἶδ' ὅτι ἐμίσησεν, τὸ δὲ παιδίον ᾤκτειρεν, τὸ δὲ ἐγχειρίδιον ἔδεισεν. ἀναστήσας τέ με,
οἴκοι μένειν [1] ἀπηγορεῖτο οἷός τ' | 1 ἴσ. μένοντα
εἶναι περισώζεσθαι δύνασθαι,

ἀθη-

ἀθηναίους ὀρρωδῶν, καὶ μᾶλλον ἔτι Λακεδαιμονίους. πέμψειν δὲ ὅπῃ σώζομαι ὑπέσχετο, καὶ πέπομφεν. Ἀλεξάνδρου γὰρ τοῦ Μακεδόνος ἐπέβην ὁλκάδι· εἰς Πύδναν τὰ ' νῦν ὥρμηντο ἡ ναῦς, ἐκεῖθεν δὲ ἐπίδοξος ἦν εἰς τὴν Ἀσίαν καταίρειν. Ταῦτα σοι τὰ περὶ τῆς παρ' Ἄδμητον ἦν ἀφίξεως· καὶ ἵνα γράφῃς Ἀργόθεν, οὐκ αὐτῷ δὲ Ἀδμήτῳ· ἐκεῖνος μὲν γὰρ οὐδὲ πάνυ τι ἐῴκει βουλομένῳ με σῶν ἀπεῖναι· ἀλλὰ τῇ Κρατησιπόλιδι παρά τε τῆς ἀδελφῆς καὶ παρὰ σοῦ μόνου· οὐδὲ γάρ σου μεῖον ἢ ἐκείνης ἐδόκει μοι προμηθὴς εἶναι.

ἴσ. τὰ νῦν

ses timeret, ac multò magis Lacedæmonios. Sed eo missurum promisit, vbi saluus essem; & misit. Nauem enim conscendi Alexandri Macedonis. Ea nunc Pydnam versus cursum tenet; inde nauigaturam opinor in Asiam. Hæc ad te de meo ad Admetum aduentu: atque vt Argis tu scribas non ipsi Admeto: neque enim velle admodum videbatur ille me saluum abire: sed Cratesipolidi. scribet autem soror tua, & tu ipse. non enim minus tui, quàm illius videbatur studiosus.

Argumentum XII. Epistolæ.

Habebat Themistocles apud Philostephanum nummularium Corinthium deposita quadraginta talenta. Repetebat haud magnam huius pecuniæ summam Midon amicus Themistoclis ad domestica & priuata ipsius negocia. Relatum est Themistocli tale à Philostephano datum responsum; se quidem amico pecuniam gratis offerre, debere verò nihil Themistocli. Ob hoc responsum indignatus Themistocles scribit epistolam querimoniæ plenam, & accepta illi exprobrat beneficia; & omnino responderi sibi vult à Philostephano, quo animo tale dederit responsum:

Θεμιστοκλῆς Φιλοστεφάνῳ χαίρειν.

Ἀνιῶμαι μὲν ὦ Φιλοστέφανε τῆς σῆς ἀχαριστίας, καὶ καθόλου ἀδικίας εἰς

Themistocles Philostephano S.

Doleo quidem te Philostephane ingrato esse in me animo, ac prorsus iniquo.

quo. sed non minus ægrè fero, immò longè grauius stoliditatem meam; quodq. ferme depræhendo me fatuum insulsumq. tota ætate fuisse, qui vel viri vnius in Græciæ triuio sedentis nudi mores, ob conspicuam nimirum artis excellentiam, congruente iudicio & valida coniectura assecutus nō fuerim. Quamquam & mea te causa arbitror opulentiorem illustrioremq. factum quouis nummulario, non modo Corinthio, sed etiam vbiuis faciente argentariam. Eras tu quoque antequam mihi tecum esset vllum commercium, etsi non tam diues, at certè perquam fidelis. & fideliorem te fuisse tunc comperimus, quàm eo tempore, quo propter nos euasisti locuples. Itaque non errori mihi tribuendum, quòd crediderim homini, cuius mihi mores perspecti exploratiq. nō essent; sed aduersæ fortunæ, quòd is qui fidelis extitit in alios, à quibus nullum habuit beneficium, iniquus in me fuerit, à quo tanta commoda comparauit. Roges, à quo hæc resciuerim: Venit Athenis Ephesum Tibius, & narrauit, vt à Midone missus ad exigendas à te

εἰς ἐμαυτόν; ἄχθομαί γε μὴν οὐκ ἐπὶ μικρῷ, ἀλλὰ τῷ παντὶ πλέον τῆς ἐμαυτοῦ νωθείας· καὶ ὅτι κινδυνεύω βλάξ τις ἠλιθίως βεβιωκέναι πάντα τοῦτον τὸν βίον, οὐδ' ὑπὸ ἑνὸς ἀνδρὸς ἐν τῇ τριόδῳ καθεζομένου τῆς Ἑλλάδος γυμνοῦ, τὰ ἤθη διὰ τὴν τῆς ἐργασίας περιφάνειαν, ἀληθές τι ἢ προσῆκον ἐρρωμένως εἰκάσαι καὶ ὑπολαβεῖν. Καίτοι ἡγοῦμαι μέν σε καὶ δι' ἐμαυτὸν εὐδαιμονέστερον καὶ λαμπρότερον γεγονέναι οὐ μόνον τῶν ἐν Κορίνθῳ, ἀλλὰ καὶ τῶν ἄλλοθί πη τῇ τοῦ τραπεζιτεύειν ἐργασίᾳ χρωμένων. ἦσθα δὲ καὶ πρὶν ἐμέ σοι συμβαλεῖν εἰ καὶ μὴ πλούσιος οὕτως, ἀλλὰ πιστὸς εὖ μάλα· καὶ πιστότερός γε ἢ νῦν εἶ κινδυνεύεις, ὅτι[1] περ καὶ δι' ἡμᾶς γέγονας πλούσιος. ὥστε [1] οὐδ' ἐμὴ γὰρ ἡ ἁμαρτία ἀνεξετάστῳ καὶ ἀθεωρήτῳ τὸν τρόπον ἀνδρὶ πιστεῦσαι, ἐμοὶ [1] δὲ ἴσως τὸ δυστύχημα αὐτὸν μηδὲ ἀπὸ ὑφ' ὧν οὐδὲ ἀγαθὸν πεπονθέναι πιστόν, εἶτα πρὸς ἐμὲ μόνον ὑφ' οὗ τὰ τηλικαῦτα ὤνηται ἄδικον γεγονέναι. ὅθεν [1] δέ μοι ταῦτα πόθεν ἴσμεν εἰς Ἔφεσον Ἀθήνηθεν ὁ Τίβιος ἔφραζέ μοι πεμφθῆναι ὑπὸ τῶν ἀμφὶ Μάδωνα, δηῶσαι αὐτοῖς ἐκ τῆς ἐμῆς τι πραγματεί-

[1] ὅτι
[1] ἴσ. οὐδ' ἐμὴ γὰρ ἡ
[1] ἴσ. ἐμοὶ δὲ ἴσως τὸ δυστύχημα, τὸ μηδὲ ὑφ' ὧν οὐδὲν ἀγαθὸν πέπονθε πιστὸν, εἶτα πρὸς ἐμέ
[1] ἴσ. ὅθεν δέ μοι ταῦτα πόθεν ἦν, ἧκεν εἰς Ἔφεσον

ἑβδομήκοντα μνῶν ἀργυ-
ρίου, ταῦτα ἀποληψόμενος
παρὰ σοῦ, βραχυτάτην μοῖ-
ραν ἐκ τετταράκοντα ὅλων
ταλάντων· τοσαῦτα γὰρ ὁ τε-
λευταῖος λογισμὸς, ὃν ἐλογι-
σάμεθα μετ' ἀλλήλων ἐν Ἰσθ-
μίοις, ἀπέφαινεν ἔτι παρὰ σοὶ
περιεῖναι τῶν ἐμῶν· ἀναγνόν-
τα τε τὰς ἐπιστολὰς, πυθόμε-
νόν τε τὴν χρείαν, ἔπειτα ἀ-
ποφήνασθαι τῇ μὲν ἤπια καὶ
ἐπιεικῆ, τῇ δ' αὖ ἀγνώμονά
τε καὶ μοχθηρὰ, ἐῶ γὰρ εἰπεῖν
ἀνόσια. τὸ μὲν γὰρ φάναι φι-
λότητός τε τῆς πρὸς ἡμᾶς ἕ-
νεκα, καὶ χρειῶν ὅσας ἐτυγ-
χάνομεν ἀλλήλοις κεχρημέ-
νοι, προῖκα βούλεσθαι προέ-
σθαι τ' ἀργύριον, ἢ δάνεισμα
¹ ἴσ. χρήστην δανείζοντα ¹χρείας ὑπάρχειν
εἰς ἐμέ· τοῦτο μὲν ἀστεῖον τε
ἐποίεις, καὶ τῆς εὐνοίας τῆς
πρὸς ἡμᾶς ἄξιον. ὁπότε
μέντοι, ὥς φησιν ὁ Τίβιος,
ἔξαρνος ἦσθα, καὶ διϊσχυρίσω πι-
κρῶς μηδοτιοῦν ὀφείλειν ἐ-
μοὶ, τοῦτο δὲ πολὺ μεῖζον
ἔπραττες κακὸν, ἢ θάτερον
ἀγαθόν. ἡ μὲν γὰρ χρηστότης
σου ἑβδομήκοντα μνῶν ἐστὶν
ἀξία, ἡ δὲ πονηρία τεσσα-
ράκοντα ταλάντων. Εἰ μὲν
οὖν· γένοιτο γὰρ ἄν· κἀγὼ
¹ ἴσ. ὑπὸ σοῦ παρ' ἐλπίδα κλαπεὶς καὶ νῦν ἔτι, καίπερ οὕτως ¹ὑπὸ
τοῦ παρ' ἐλπίδας κλεπτίων, ὅμως οὔπω ταχέως οὕτως ἀφίσταμαι χρη-
στόν τι καὶ δίκαιον περὶ σοῦ ὑπολαμβάνειν· περὶ τοῦ πιστοῦ ἄπιστος ἦσθα, καὶ
περὶ

te minas argenti septuaginta,
cum opus illi essent rerum mea-
rum causa; minimam scilicet
partem totius summæ talento-
rũ quadraginta: tot enim sub-
ductis postremò rationibus ab
vtroque nostrum Isthmijs, su-
peresse de meo apud te com-
perimus: postquam epistolas
legisses,& indigentiam cogno-
uisses: audierit à te verba par-
tim humanitatis & beneuolen-
tiæ plena,partim ingrati animi
& improbitatis, ne dicam im-
pietatis. Nam dicere,amicitiæ
nostræ causa, & propter operas
mutuo inter nos traditas,mal-
le te largiri; quàm mutuam pe-
cuniam dantem esse meum
creditorẽ; vrbanitatis hoc fuit,
& beneuolentia erga nos di-
gnum. At quando negabas,vt
inquit Tibius, & cum acerbita-
te dicebas, te nihil mihi debe-
re; longè maius hoc agebas
malum, quàm bonum illud.
Probitas enim tua pretij est
minarum septuaginta, nequi-
tia verò talentorũ quadragin-
ta. Quòd si; fieri enim potest;
& ego licet à te præter spem
deceptus, opinionem tamen
de te vt probo & integro ho-
mine non tam cito depono:
in fi-

in fidum infidus, & in æquum es iniquus, non audax & impudens factus, vt lucrum facias; sed abnegando, quemadmodum videbare, debitum vt mihi prosis: nec tu improbus eris, nec me ostendes fatuum, qui in te tali animo fuerim. Si verò non fallit nos nostrum de te iudicium, & plena sunt vbique Atheniensium omnia; Deos certè Philostephane scelera tua non latebunt, & me non impune deludes. At si & me contempseris, Deosq. parui feceris, profectò Athenienses tandem aliquando non effugies. Nam ipse quoque libentius omnino patiar hæc etiam, sicut & cætera omnia, mihi auferri à patria, quàm à Philostephano trapezita Corinthio tantam mihi pecuniam eripi. Ad has igitur litteras rescribe, & qui sis erga me significato, qualeq. sit de rebus tuis tibi consilium. Vt, si ille tu es promptus & hilaris amicus, & non desijsti esse quod eras, deliberem qua ratione mihi salua sit pecunia mea, qua afflictam meam fortunam leuem. Sin minus, quibus data non pereat præter meam voluntatem.

περὶ τὸ δικαίου ἄδικος, οὐκ εἰς τὸ σαυτοῦ κέρδος θρασυνόμενος καὶ ἀναισχυντῶν, εἰς δὲ τοὐμὸν εἰς ἰδόκης ὄφελος ἐξαρνούμενος, αὐτός τε ἂν εἴης οὐ κακὸς, κἀμὲ ἀποφήνειας οὐ μωρὸν, ὅτι οὕτως ὑπὸ σοῦ διετέθην. Εἰ δ' ἀληθῶς οἰόμεθα[1] καὶ τοῦτό σοι εἶναι, καὶ πανταχῆ πάντα Ἀθηναίων γέμει, οὔτε τοὺς θεοὺς ἀσεβῶν λήσεις ὦ Φιλοστέφανε, οὔτε ἐμὲ ἀδικῶν καταπροίξῃ. οὐδ' εἰ κἀμοῦ καταφρονήσεις, καὶ τῶν θεῶν ἀμελήσεις, ἀλλὰ πλουτῶν Ἀθηναίους γε οὐκ ἐκφεύξῃ. ἐπεὶ κἀγὼ τῷ παντὶ μᾶλλον ἄσμενος ὑπὸ τῆς πατρίδος ἂν τῆς ἐμαυτοῦ καὶ ταῦτα ἀφαιρεθείην, ὥσπερ καὶ τἄλλα πάντα, ἢ ὑπὸ Φιλοστεφάνου τοῦ Κορινθίου χρυσαμοιβοῦ τοσούτων χρημάτων ἀποστερηθείην. τοιγάρτοι ἤδη μοι γράφε καὶ ἀντεπίστελλε, ὅστις εἶ πρὸς ἐμὲ, καὶ ὅτι σοι διέγνωσται τἄλλα πρὸς σέ. ἵνα εἰ ἐκεῖνος[1] εὔθυμος φίλος, καὶ διαμένεις ὡς ἦσθα, ὅπως μοι σωθήσεται εἰς ἐπανόρθωσιν τῆς ἐμῆς δυστυχίας τὰ μὲν χρήματα βουλεύωμαι· εἰ δὲ μὴ, ὅπως οὐ παρὰ τὴν ἐμὴν γνώμην ἀπολεῖται.

1 ἴσ. οἰόμεθα τοιοῦτόν σε εἶναι

1 ἴσ. εἰ ἐκεῖνος εἶ ὁ εὔθυμος

Argumentum XIII. Epistolæ.

Responderat Philostephanus, Tibium non retulisse fideliter quæ ipse dixisset; & Midonem ignorare quæ in rem essent, pecuniam se habere, cuicumq. redditurum mandato Themistoclis; neque enim se habitum fuisse ad eam diem in quemquam minus fidelem, præsertim verò in Themistoclem. Ipse eiusmodi litteris placatus respondet, conijciendo culpam in Tibium ire auctorem.

Θεμιστοκλῆς Φιλοστεφάνῳ.

Ἧκέ μοι τὰς ἐπιστολὰς παρὰ σοῦ κομίζων εἰς ἔφεσον, ὡς ἀθηναῖοι κομίζονται [1], βοηδρομιῶνος ἕνῃ καὶ νέα· ὡς δὲ ὑμεῖς, πανήμου δεκάτη· ἡ δὲ ἡμέρα ἡ αὐτή· Μένυλλος ὁ χαλκιδεὺς κυβερνήτης, ὁ καὶ τὴν παρὰ Γέλωνός ποτε τοῦ Συρακουσίου τὴν μεγάλην ἐκείνην ὁλκάδα τοῦ σίτου καταγαγὼν εἰς Πειραιᾶ. Καὶ αὐτός τε ἀπὸ γλώσσης ἤρξατο πρός με εἰδότα, οὐκ εἰδὼς αὐτὰ ὡς αἰνίττεται· ἐγὼ δὲ ἐγνώριζον τοὺς πρός με σοὶ ξυντεθέντας συμβόλους. Καὶ μήν τοι γε καὶ τὸ ἔγγραφον ἀποδίδου· ἔνθα δυσφορεῖν μὲν καὶ μεγάλως ἀγανακτεῖν ἐφάνης, οὐκ ἀξιῶν ὅλως μηδ' ὑφ' εἷς ἄλλον ἀνθρώπων οὐδένα πρὸς [1] ἡμᾶς ὑποπτευθῆναι ἄπιστος ἂν καὶ ἀπεχθὴς γενέσθαι, τοῦ παντὶ

[1] ἴσ. λογίζονται

[1] σοὶ

Themistocles Philostephano.

Venit Ephesum Menyllus Chalcidensis gubernator, qui magnam illam Gelonis Syracusij nauem frumento onustam in Piræa olim deduxit; tuasq. attulit epistolas die [1] Boedromionis tricesimo, vt supputant Athenienses; [2] Panemi autem decimo, vt vos numeratis; dies enim idem est. Is nonnulla etiam verbis mihi subindicauit intelligenti, quæ ipse quò tenderent non intelligebat. ego verò agnoscebam, quorum me consilijs vti volebas. Syngrapham quoque mihi reddidit. & videbaris tu quidem ferre molestè, & vehementer dolere; asseuerans te apud nullum omnino hominũ ante nos infidelitatis suspicionem habuisse, aut odium in te con-

[1] Augusti

[2] Iulio apud Macedones

μὲν

conuertisse; omnium verò minimè in nos talē te præstitisse. Pecuniam quoque meā asseruare te nō negabas, redditurū te promittens quando & quibus ipse reddendam mandarem. De Midone præterea & Pamphilo significabas, nescire illos quæ oporteret. De Tibio demum, quòd scelestus insipienter locutus esset. Me autē Philostephane pudet, fateri magna voluptate perfundi ob tuum hunc animum, non tam quadraginta talentorum causa, quam quòd meam de te spem non fefelleris. Scito tamen, eo tempore, quo nondum eras nobis quadraginta redditurus talenta, cum illa nondum accepisses; dignum te nobis visum, cui non ea solum, sed alia quoque triginta concrederemus. Septuaginta enim ad summum de meo accepisti. Qui ergo te maiori etiam summæ anteposuimus, digni certè sumus, quibus fides adhibeatur affirmantibus pluris te facere, quàm summam minorem. Quod autem ira paulo magis præcipiti fuerim in te commotus; licet non crediderim amicitiæ nostræ memor, & propterea te tam cito non [illegible] damna-

μέν τοι μᾶλλον ἢ εἰς ἐμέ ἐ- ἰνέστα δὲ καὶ περί. τῶν ἐμῶν χρημάτων ἀπηγόρευες, ἔχειν οὐκ ἐξαρνούμενος, καὶ ὁπηνίκα ἂν, καὶ οἷς ποιν ἀν προστάττοιμι ἀποδώσειν ὑποσχόμενος· τότε περὶ τοῦ Μίδωνος καὶ τοῦ Παμφίλου διεδήλους, ὅτι ἠγνόουν ἃ χρή· περί τε Τιβίου, ὅτι ἠγνωμόνως ὁ ἐπίτριπτος. Ἐγὼ δὲ αἰδοῦμαι μὲν ὦ Φιλοστέφανε ὁμολογεῖν, ὅτι λίαν ἥδομαι τοιαῦτα σου φρονοῦντος μὴ τοῖς τετταράκοντα μᾶλλον ταλάντοις, ἢ τῷ μὴ διεσφάλθαι τῆς ὑπὲρ σοῦ ἐλπίδων (ἡδόμεθα). εὖ μέν τοι [1] οὔπω ἴσθι τὰ τετταράκοντα ταῦτα τάλαντα ἀποδώσειν ἡμῖν ἔμελλες, οὐδὲ γὰρ εἰλήφεις πω αὐτά, καὶ τὸ λαβεῖν οὐ ταῦτα μόνον, ἀλλὰ καὶ πρὸς τούτοις ἄλλα τριάκοντα ἄξιος ἡμῖν ἐδόκεις εἶ(ναι). ἑβδομήκοντα γὰρ τὰ πλεῖστα τῆς ἡμετέρας παρὰ σοὶ ἦλθε ἐστο. οἱ [1] δὲ πολὺ πλειόνων ἢ τούτων σε προτιμῶντες, οὐκ ἂν πω δεόντως, ἢ [1] τούτων σε τῶν ἐλαττόνων φαινοίμεθα προτιμῶν ὁποιοίμεθα. ἀλλὰ μὴν καὶ περὶ μὲν τοῦ διαγανακτεῖν ἐμαυτὸν ἰταμώτερον καὶ προχειρότερον, ἀπιστῶ δὲ ὡς ὑπὲρ ἀνδρὸς φίλου, καὶ μὴ ταχέως οὕτως ἐπιδραμεῖν σου, τῆς διαβολῆς ἐκεῖνα λέξας, τ' ἀληθῆ.

[1] δοκῶ παρέλκειν

[1] ἴσ. εὖ μέν τοι ἴσθι, ὡς ἀπο τὰ τετταρ.

[1] ἴσ. οἱ δὲ

[1] ἴσ. ἡ τούτων

[1] ἴσ. ἢ πε

ἀληθέστατον ἂν εἴποιμι τῷ Φιλοστεφάνει. Διότι θορυβηθῆναι μὲν ἡμᾶς ἐποίησεν ἐν τοῖς περὶ σοῦ ὁ μαστιγίας Τίβιος· πιστεῦσαι δὲ ἐκείνῳ εἰ [1] μὴ τύχη. περὶ μὲν τούτων τοιαῦτα· τὸ δὲ ἀργύριον νῦν μὲν ἔστω σοι παρὰ σοί, ἐπειδὰν δὲ περὶ τῶν καθόλου διαφερόντων εἰς ἐμαυτὸν διαγνῶ, καὶ βουλεύσωμαι βεβαιότερον, ἐπιστελῶ σοι τηνικαῦτα.

[1] ἴσ. ἡ μὴ τύχη.

damnauerim, quòd forte calumnia subesset, dicam Philostephane de hoc, quod verissimum est. Turbauit nos cum de te narrasset verbero Tibius: Cur verò crediderim, causa est fortuna mea. Hæc hactenus. Pecunia porrò nunc quidem apud te sit; Cum verò de rebus meis vniuersè deliberauero, & certius consilium cepero, tunc ad te scribam.

Argumentum XIV. Epistolæ.

Leotes sacrorum Antistes, Lysander, Prinapes, & Leager, ad quem Themistocles scribit, iureiurando se purgauerant de crimine proditionis, quod Themistocli inferebatur: Queritur Themistocles potuisse illos iurando omnem à se suspicionem depellere, sibi idem non licuisse. Cæterum admonet Leagrum, ne Atheniensibus fidat ipse, & cæteri socij. Postremò arcanum aperit consilium de sua ad Regem Persarum profectione, profectionis tamen scopum pudore suffusus reticuit.

Θεμιστοκλῆς Λεάγρῳ.

Ἦπου Λεώτης ὁ ἀρχιερεὺς ὦ Λέαγρε, καὶ Λύσανδρος ὁ Σκαμβωνίδης, καὶ Πεινάπης ὁ Πρασιεὺς νῦν μὲν ἀσπάζονται τὸν Ἀθηναίων δῆμον· ὃς οὔποτε ἄλλοτε οὕτω μὲν αὐτοὺς πιστοὺς ὑπέλαβεν εἶναι, οὕτω δὲ δικαίους καὶ εὐόρκους, ὥστε περὶ τοσούτου ἀδικήματος ἐπιχειρήσειν ἐξομολογεῖσθαι [1] σφίσιν τῆς ξυμπάντων τῶν Ἑλλήνων προδοσίας.

[1] ἴσ. ἐξομό-τας χρῆσθαι.

Themistocles Leagro.

Nvnc planè, Leager, sacrorum Antistes Leotes, & Lysander Scambonides, & Prinapes Prasiensis studiosi sunt populi Atheniensis; qui antea nunquam eos iudicauerat adeo fideles, adeo iustos & sanctè iurantes, vt voluerit eorum vti testimonio in tanto scelere proditionis omnium Græcorum. Nunc sanè de se nimis

nimis magnificè sentiunt, quãtumq. certè non sentiant alij: non solum omnem à se suspicionem remouentes, illataque ac diuulgata in se probra refellentes, sed absoluti etiam cum opinione pietatis & innocentiæ. At enim Leager filius Glauconis, & meus æqualis ac in ephebis socius, nec ideò Athenienses laudabit; cætera probet illos & amet: nec propterea se iactabit magnificè; imò verò erubescet. Etenim vos, ò Leager, si vestram vnam salutem, hoc est calamitatem meam, in beneficij loco posueritis, non errabitis: nam quasi pingui animante cæsa, aut fera prostrata, suppetit abundè vobis ex me, quo vescamini. Et certè hac vna in re (audacter enim dicam) sum felix, qui in cæteris omnibus afflictissima sum fortuna. Siquidem passus ea quæ sum passus, vos amicos meos non mediocriter iuui. Cæterum confidere; & quod maius est, in eiusmodi salute exultare, quis dum sanæ mentis sit, æquo animo ferat? Primò, non quòd ij quoque auctores fuerint spargendi rumoris inter Græcos tam exitialis & acerbi, tam iniqui & falsi. Sed quia

σίας. νυνὶ δὲ ἐφ' αὐτοῖς φρονοῦσι πάμμεγα δή τι ἄρα καὶ ἡλίκον, ὃ οὐκ ἂν ἄλλοι φρονοῖεν· οὐκ ἀπαλλάττοντες μόνον τῆς ὑποψίας καὶ τῆς βλασφημίας τῆς εἰς αὐτοὺς γενομένης καὶ λεχθείσης, ἀλλὰ μετὰ τοῦ εὐσεβεῖς καὶ ὅσιοι πεπιστεῦσθαι ἀπαλλαγέντες. ἀλλ' οὐ γὰρ ὁ Γλαύκωνος μὲν υἱὸς Λέαγρος, ἐμὸς δὲ ἡλικιώτης καὶ συνέφηβος, εὖ τ' οἶδ' Ἀθηναίους τοῦτου γε ἕνεκα ἀγαθήσεται· τὰ δὲ ἄλλα ἀσπαζέσθω καὶ ἀγαπάτω αὐτούς, ἔπι ἐπ' αὐτοῖς σεμνυνεῖται, ἀλλ' αἰσχυνεῖται. ἡμεῖς ¹ μὲν γὰρ ὦ Λέαγρε τῇ μὲν ὑμετέρᾳ σωτηρίᾳ μόνῃ, ἐμῇ δὲ δυστυχίᾳ χαίρειν ἐπιστάμενοι οὐχ ἁμαρτήσεσθε, ὅτι ὥσπερ μεγάλου καὶ πίονος θρέμματος καὶ ἀγρεύματος πεσόντος ἄδην ἔχετε (τοῖς ¹ Ἀθηναίοις) τῆς ἐμῆς θοίνης. Καί μοι ¹ τοῦτό γε οὐ μόνον ἀποθαρσήσω γὰρ εἰπεῖν εὐτύχηται, τὰ ἄλλα πάντα οὕτως ἀρρήτως κακῶς πεπραγότι· ἀλλ' ὑμᾶς τε ¹ τοὺς ἐμοὺς φίλους οὐ μετρίως ὤνησα ταῦτα παθὼν ἃ πέπονθα. ἐπιθαρρεῖν δὲ, καὶ τὸ μεῖζον ἔτι ἀγάλλεσθαι ἐπὶ τῇ τοιαύτῃ σωτηρίᾳ, τίς ἂν εὖ φρονῶν ὑπομένοι; ¹ ὥσπερ οὐχ ὅτι καὶ οὔποι καταβεβοηκὼς καταβόωσιν εἰς

¹ ὑμεῖς

¹ δοκεῖ παρέλκειν

¹ ἴσ. τοῦτο γ' οὖν

¹ ὑμᾶς γε

¹ πρῶτον οὐχ ὅτι καὶ ἔτοι καταβεβοῆσθαι

τοὺς Ἕλληνας ἔτι μὲν αἰνίττεσθαι τὸ δίκαιον, ἔτι δὲ ἄδικον καὶ ψευδῆ· ἀλλ' ὅτι οἱ μὲν ἐπιορκοῦντες Ἀριστείδης ἦν, καὶ Φαιδρίας, καὶ Τισίνικος, καὶ Ἀλκμαιωνίδης· οἱ δὲ ὀμνύοντες ὑμεῖς. Καίτοι κατέπεσον οἱ θεοὶ καὶ δαίμονες οἱ τῆς ἀληθείας τῆς ἐν ἀνθρώποις ἴστορες τὸ περὶ ὃ ὑμεῖς ὀμνύμενοι ἕδος τῆς θεοῦ· μᾶλλον δὲ αὐτὸς ὁ νεὼς ἐπὶ τὰ τῶν ἀλιτηρίων ἐκείνων βρέγματα τῶν τότε ὑμᾶς ὁρκούντων. ἀλλὰ νῦν μὲν ὑμῖν πιστεύουσιν, ὅτι ὀμωμόκατε, πρὶν δὲ ἄρα οὐκ ἐπίστευον. Διατί οὖν οὐχὶ κἀμὲ ὥρκωσαν, ἵνα κἀμοὶ πεισθῶσιν; Εἰ δ' ἐμὲ μὲν πονηρὸν ἡγοῦντο, ὑμᾶς δὲ χρηστούς, διατί οὖν καὶ ὑμᾶς ᾐτιῶντο τηνικαῦτα τοὺς χρηστούς, ὅτεπερ κἀμὲ τὸν πονηρόν; Δεῖ γὰρ ἤτοι τὸν τρόπον τὸν ἐπὶ τῶν ἀνθρώπων, ἢ τὸν ὅρκον τὸν ἐπὶ τοῦ θεοῦ πιστὸν εἶναι. καὶ χρηστοὺς μὲν ὑμᾶς εἰδότες τοὺς τρόπους, οὐκ ἂν ἐπὶ τὸν ὅρκον ἦγον· πονηροὺς δὲ εἰδότες τὸν ὅρκον, οὐκ ἂν ἐφλυάρουν, οὐδ' ᾐτιῶντο τὸν τρόπον. ἀλλ' οὐδὲν τούτων ὑγιὲς, οὐδ' οὕτως ἔχον ὦ Λέαγρε, ὥσπερ ἐκεῖνοι φασίν. ἀλλὰ τὰς μὲν παρούσας παροχάς, καθάπερ ἔλεγον, ὁ φθόνος αὐτῶν πεποίηται πρὸς ἡμᾶς· ὅτι οὔπω μα-

1 περὶ

quia qui peierarunt, fuere Aristides, & Phædrias, & Tisinicus, & Alcmæonides; vos autem, qui iurastis. Necò Dij ac Dæmones, custodes & præsides tuēdæ inter homines veritatis, Deæ simulacrum in quod iurabatis, imò verò delubrum ipsum corruit in capita nefariorum hominum, qui vos ad iurandum adigebant. Sed nunc quidem credunt vobis, quia iurastis; antea verò non credebant. Cur ergo à me etiam iusiurandum non exegerunt, vt mihi quoque fidem haberent? Si verò me improbum, vos autem probos existimabant, cur vos etiam probos criminabantur eo tempore, quo incusabar & ego malus? Oportet enim aut auctoritati hominum propter mores, aut iuramento propter religionem in Deum tribui fidem. Itaque si vos bonis esse moribus scissent, iuramento non obstrinxissent. Si verò iusiurandum falsum, non effutissent nugas, nec mores improbassent. Verum nihil horum Leager congruit rationi, nec res sic se habet vt illi dicunt. sed liuor, vt dicebam, eorum hisce me affecit muneribus. Nam alio

post

τὰ

post Themistoclem nondum indigent, & me fastidiunt. Quòd si iam, vt videre est, res meæ pessum eunt, ego sanè de vobis valde timeo, & vobis ipsis timendum est, ne iusiurandum vobis male vertat, dum putatis fidem quidē vobis habitam, ab ijs autem qui habuere fidem eludamini. Et ipse, cui iuranti non crederent, & retia & venatores effugerim; vos autem, quibus testimoniū pietatis, & sancti iurisiurandi hactenus datur, impiè & periurè à testibus opprimamini. Terricula obtendis, timoremq. inijcis Themistocles hisce verbis, dicat quispiam. Certè tacendo timorem non incutio; sed dicentem audietis. Sin minus, an non mei vobis in mentem venit? qui cunctis A- thenienfibus præcepi, vt vrbē desererent, & naues conscenderent; & suasi, immo obsequentes habui; nec tamen ipsos eosdem adducere potui, vt mihi permitterent Athenis secum habitare? Quid secum dico? nec sine Atheniēsibus in Græcia. Sed Pythius illorum ego; hoc enim me vocabant nomine, quando illis oraculum explanaui: nec Delphis, nec in De-

Herodot. lib. 7. Plutar. in Themist.

τὰ Θεμιστοκλέα ἄλλης δέονται· ἀλλ' ὅτι ἐμοῦ πλήρεις εἰσίν. Εἰ δ' οἷον εἰκὸς ἔρχεται κατ' ἐμὲ ἤδη, τηνικαῦτα δὲ ὀρρωδῶ μὲν ἐγὼ περὶ ὑμῶν, δεδιττέον δὲ ὑμῖν αὐτοῖς ὑπὲρ ὑμῶν αὐτῶν, μηδ' ἐμὸς ὑμῶν ὁ ὅρκος γένηται, πεπιστεῦσθαι μὲν οἰόμενοι, πιστεύσασιν δὲ ἐξαπατώμενοι· κἀγὼ ὁ μὴ πιστευόμενος ὀμνύς, ἔξω βεβηκὼς ἀρκύων καὶ ἀρκυωρῶν τύχω· ὑμεῖς δὲ οἱ μαρτυρούμενοι ὅτι εὐσεβεῖς ἐστὲ καὶ εὔορκοι ἐς τάδε, ἀσεβηθέντες καὶ ἐπιορκηθέντες ὑπὸ τῶν μαρτύρων. Δεδίττεις ἡμᾶς ὦ Θεμιστόκλεις, καὶ δείματα ταῦτα λέγων, φήσει τις ἴσως· σιωπῶν γὰρ ὑμᾶς οὐ δεδίττομαι, ἀλλ' εἰ μὴ λέγοιμι ἀκούσεσθέ μου. Εἰ δὲ μηδὲ τοῦτο, οὐ μέμνησθέ μου, ὅτι ἐγὼ μὲν ὁ πᾶσιν Ἀθηναίοις προστάξας ἐκλιπεῖν μὲν τὸ ἄστυ, εἰς δὲ τὰς ναῦς ἐμβαίνειν· καὶ πείσας, μᾶλλον δὲ ἐπαρκεσθεὶς, οὐκ ἔπεισα τοὺς αὐτοὺς τούτους, ἵνα μοι ἐπιχωρήσωσιν οἰκῆσαι μετ' αὐτῶν Ἀθήνησιν. Καὶ τί μετ' αὐτῶν λέγω; οὐδὲ δίχα Ἀθηναίων ἐν τῇ Ἑλλάδι. ἀλλ' ὁ Πύθιος αὐτοῖς· καὶ γὰρ τοῦτό με ἐκάλουν, ὅτι περ τὸν χρησμὸν αὐτοῖς ἐξηγησάμην· οὔτε Δελφῶν, οὔτε Δήλου, τὸ δ' ἔτι

ἴσ. ἔρρει τὰ κατ' ἐμέ

ἴσ. μὴ καθ' ὑμῶν

ἀντὶ τοῦ, οἰομένους καὶ ἐξαπατωμένους, ἀττικῶς.

τούτοις ἐστὶν οὐδὲ Ξάνθου μοῖραν [1] ἔχουσιν· μὴ τελευταῖον εἰς Ὑπερβορέους ἐκτοπίσωμαι. Καὶ ᾧ ὑπανίστανται οἱ Ἕλληνες ὀλυμπίαζε παρελθόντι ἐπὶ τὴν θέαν τοῦ γυμνικοῦ ἀγῶνος, τούτῳ οὐχ οἷόν τε ἐν πανηγύρει [1] καὶ θέας ἄκριτον τιμῆς καὶ προεδρίας τυχεῖν· ἀλλ' οὐδὲ ἐν βεβήλῳ τῆς Ἑλλάδος οἰκῆσαι, οὐδ' ἐν ἱερῷ ἱκετεία καταφυγεῖν. ταῦτα οὐκ ὀρρωδεῖτε ὦ Λεάγρε, οὐδ' ὑπέρ ὑμᾶς θάμβος, ἀλλὰ μετὰ τὸν ὅρκον πάντ' ἔχειν ὑμῖν οἴεσθε καλῶς; καὶ ἔχοι γε ὦ δέσποινα Ἀθηνᾶ· ἀλλ' οὐδὲν οὕτως ἀνόητον, ὡς ὅταν μὴ διαφέρωσιν αἱ εὐχαὶ καὶ ἐλπίδες. τί οὖν ποιητέον; ἐρήσῃ με· φευκτέον ἄρα μηδενὸς ἡμᾶς ἐλαύνοντος; οὐ λέγω τοῦτο, ἀλλὰ μὴ κοιμᾶσθαι· ἀπιστεῖτε, φοβεῖσθαι [1]· ὑποθήσεται τὸ πρᾶγμα ἢ ἀναχωρεῖν, ἂν τούτου δέῃ, [1] καὶ ποῖόν τις αὐτὴ, ἣν τοῦ ἔργου μόνον [1] φροντίζητε. ἢν δὲ ῥαθυμῆτε, πάνυ ἔχειν ἡγούμενοι κατὰ τρόπον, δέδοικα μήποτε ὁ δυστυχὴς ἐγὼ ὅλας τὰς Ἀθήνας ἄντικρυς ἀφῃρημένος ὦ. μέχρι γὰρ νῦν ἔχω τι αὐτῶν, καὶ μὰ Δία οὐχὶ τὸ φαυλότατον, ἀλλὰ τὸ βέλτιστον, περιόντων ἔτι καὶ ζών-

[1] ἴσ. ἔχειν ἴσον.

[1] ἴσ. εἶναι ὡς ἀμοίρῳ τιμῆς καὶ προεδρίας

[1] φοβεῖσθαι

[1] ἴσ. ἢ καὶ ποιεῖν τι αὐτοῖ

[1] μόνον

Delo vitam traducere sinor; quin immo nec in fortuna Xanthi esse, ne tandem ad hyperboreos commigrem. Et cui Olympiam profecto ad gymnicos ludos assurrexerunt Græci, modo non licet spectare certamina citra honorem, ac primarij sedilis dignitatem; sed neque profanum vllum conceditur in Græcia domicilium, aut facer locus, quo supplex confugiam. Hæc non pertimescitis Leager, nec obstupescitis, sed omnia vobis post iuramentum in tuto esse putatis? atque vtinam in tuto sint, domina Pallas. Sed nihil ita stultum est, vt votum à spe non differens. Roges: Quid igitur agendum? fugiendum ne depellente nemine? non me hercle, sed non obdormiendum. Ne credite, timete; res ipsa subijciet, num recedendum, si res ita ferat, an sit aliquid istic agendum, modo curam adhibeatis. Quòd si negligentiores eritis, res vestras perbono loco esse putantes, miser ego vereor, ne integras plane deperdam Athenas. Adhuc enim partem illarum habeo, & hercle non abiectissimam, sed præstantissimam, dum sospites amici supersunt. At si profugus quidem ego quæuis

Plut. in Themistocl.

terræ loca pererrem; inimici verò clarissimi & potentissimi sint: sodales autē vos nec istic, nec vna sitis: multa quoque interim puerorum turba parentibus orbatorum seruitutem patiatur, mulierum præterea & vestrarum & mearum in solitudine viuentium; inter quos non desunt & senes & anus; quorumdam enim parentes adhuc in vita sunt: Quæ, vt dixi, si confertim eueniant omnia, mihi quoque sine dubio satius erit me in fugam conijcere, & pati quicquid hostibus collibitum fuerit, quàm vt quicquam horum aut fieri videam, aut narrari audiam. Proinde Leager de his quæ dixi, dies noctesq. serio cogita, & accuratius expende; cunctosq. sodales, iuratos & iniuratos; nosti verò omnes; de his admone ac solare; & enitere vt cura & prouidentia tua iuues. Huius quoque epistolæ totam hanc partem, si placet, illis òstendito, ac legito. Cætera quæ sequuntur, vel deleto & abradito, vel præcisa penes te habeto, vt præter te nulli vnquam mortalium patefiant. Neque enim sum nescius, ia- [illegible] ctare.

των μοι τῶν φίλων. Εἰ δ' οὖν ἐγὼ μὲν φυγὰς ὅποι ποτὲ γῆς ἄλμενος· οἱ δὲ ἐχθροὶ οὐχ οἱ λαμπροὶ καὶ μέγα ἰσχύοντες· οἱ δ' ἑταῖροι ὑμεῖς οὔτε αὐτόθι, οὐδ' ὁμοῦ· δουλεία δ' ἐν τῷ μέσῳ παιδαρίων ὀρφανῶν πολλῶν, γυναικῶν ἐρήμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν· ἐνίων δὲ καὶ πρεσβυτῶν καὶ πρεσβυτίδων· ἐνίοις γὰρ αὐτῶν καὶ οἱ γονεῖς ἔτι εἰσίν. Εἰ ταῦτα πάντα ἀθρόα, ὥσπερ ἔφην, καταλαμβάνοι, ἆρά γε οὐχὶ κἀμοὶ τῷ παντὶ ἄμεινον αὐτομολεῖν δεῦρο, καὶ πάσχειν τὰ τοῖς ἐχθροῖς δοκοῦντα, ἢ τούτων τι ὁρᾶν γινόμενον, καὶ ἀκούειν λεγόμενον; Ταγάρ τοι ταῦτα μοι οὕτως γε ὂς ἡμέρας καὶ νυκτὸς ἐκφρόντιζε καὶ διακρίβου ὦ Λέαγρε, καὶ τοῖς ἑταίροις ἡμῶν ἅπασιν ἀποτίθεσο, καὶ παρηγόρει, καὶ πρὸς ταῦτα προμηθῆναι διὰ χερὸς, μὴ μόνον τοῖς ὀρκωμένοις ἀλλὰ καὶ τοῖς ἀνωμόταις· οἶδα δὲ πάντας αὐτούς. Καὶ ταύτης τι αὐτῆς τῆς ἐπιστολῆς ἄχρι τοῦδέ τινι τὸ πᾶν μέρος ἐπιδείκνυσο αὐτοῖς εἰ βούλει, καὶ παραγίνωσκε· τὰ μέν τοι μετὰ τοῦτο ἢ ἀπαλειψάμενος διάφθειρον, ἢ ἀποτεμόμενος ἔχε· καὶ ἔξω μόνου σοῦ τοῖς ἄλλοις πᾶσιν ἀνθρώποις γινέσθω ἄγνωστον. ἐγὼ γὰρ οὐκ ἀγνοῶ μὲν, ὅτι καὶ θηρ-

Marginal notes: ἀλώμενος | ἴσ. καὶ οἱ λαμπροὶ | ἴσ. ὡς φημι | ὑποτίθεσο | ἴσ. διαπρεπῶ | γε

θερμὸν καὶ θρασὺν, καὶ ἀποκεκινδυνευκότα μᾶλλον ἢ παρακεκινδυνευμένον ἀναρρίπτω κύβον, ἀλλ' οὐδὲν ἧττον ἀναρρίπτω, καὶ τολμῶ, καὶ δέδοκταί μοι. Κ'ἂν μὴ μήτε Λέαγρος ὁ ἐμὸς ἑταῖρος ἐπισχεῖν θελήσῃ τῆς ὁρμῆς, οὐ γὰρ ἐφέξει· μήτε Νεοκλῆς ὁ πατὴρ, ἢ Θεμιστοκλῆς ὁ θεῖος ἀναβιώσαντες νῦν, καὶ δεῦρο ἀφικόμενοι. ἀλλὰ μηδ' ὄρνις, μηδὲ φήμη, μηδ' αὐτὸς ὁ τὸ ξύλινον τεῖχος περιτειχίσασθαι τοῖς πολίταις σου θεσπίσας. ἀλλ' εὐφήμει ὦ κράτιστε, καὶ θεοῖς εὔχου σωτηρίαν καὶ νόστον ἡμῖν ἀπήμονα ὀπίσω πέμψαι· καὶ τὸ τέλος τῶν ἐγχειρουμένων μὴ μόνον ὡς ἐλπίζομεν, ἀλλὰ καὶ ὡς ἄξιοι ἐσμὲν, εὔ-
1 ἴσ. ἐπιτήδεια πας ἡμῖν ἐπίπηθε. Διέγνωκα γὰρ ἀπαίρειν ἐκ τῆς Ἐφέσου αὐτίκα παρὰ βασιλέα τὸν, ὡς σὺ μὲν οἶσθα, πολέμιον· ὡς δὲ Ἀθηναῖοι φασὶ, καὶ μαντεύοιντο ὦ Ζεῦ δέσποτα, καὶ τἀληθῆ λέγοιεν, φίλον. προσπέπομφα γάρ μοι παρ' αὐτὸν ἤδη, καὶ ἤπια τῷ ἀγγέλῳ ἀπεκρίνατο, καὶ πρὸς ἐμὲ ἀπέστειλεν· ὥστε με παντάπασιν ἐκπεπλῆχθαι, καὶ θαμβεῖν ἐσχάτως. εἰ μὴ τοσοῦτον μόνον, ὅτι οὐδὲ ἡμεῖς ἀληθὲς οὐδὲν πώποτε οὔτ' εἴπομεν ἐκείνῳ,

ctare me aleam feruidam & temerariam, & euidentis periculi potius quàm imminentis; sed iacio tamen, & audeo, & constitutum mihi est. & neque Leager sodalis meus à proposito me coercere velit, non enim coercebit; neque ipse Neocles pater, vel Themistocles patruus excitati modo ab inferis, & huc profecti: sed nec augurium, aut omen; nec ipse, qui oraculo suo ciuibus tuis responderat, vt se ligneo muro vallarent. Herodot. lib. 7. Sed ominare nobis prospera vir optime; Deosq. precare, vt saluos nos & incolumes redire velint: & conatus nostros eum ad finem perducant, non modo quem speramus, sed etiam quo digni sumus. Decreui enim Epheso discedere, & quamprimum adire Regem, nobis vt tu quidem scis, infensum; vt verò Athenienses aiunt, atque vtinam diuinent, & verum dicant, amicum. Iam enim ad eum misi, & nuntio comiter respondit, & ad me scripsit, vt prorsus præ admiratione obstupeam. nisi forte illud subsit, quòd nos quoque illi nihil veri vnquam aut diximus, aut scripsimus. At non imitabitur [illegible] nos

οὔτ'

nos magnus Persarum Rex: neque enim illi ad lædendum nos emolumento est vti mendacijs; cum si velit, possit idem facere vera dicendo. Ibo igitur ad illum; at quid facturus, si facultas adsit, pudet me dicere. Dico tamen velle me, si facultas non deerit. Tu verò istic res nostras curæ habeto, non tamen apertè & palam; ita enim summopere vtrisque conducit: sed accurata diligentia, vt facies sat scio. magisq. timeo, ne de rebus meis curam adhibeas propalam, quàm ne indiligentior sis. Verum illud quoque, si nos amas, caueto, primò quidem tui ipsius causa; tanti enim facio te, quanti meam animam: deinde propter me, & res meas, vt nobis vtilitati & adiumento diu sis. Hæc, vt faciendum duxi, arcana mecum habeto. Cætera verò vt se habeant, dabo operam vt primo quoque tempore scias, ne quid meorum tibi sit ignotum.

οὐτ' ἐπεστάλμεθα. ἀλλ' οὐκ ἂν ἡμᾶς μιμούμενος τύχοι βασιλεὺς ὢν μέγας. Καὶ οὐδὲν οὕτω ψευδομένῳ χρήσιμον κακῶς ἡμᾶς ποιεῖν, παρὸν εἰ ἐβούλετο καὶ τἀληθῆ λέγοντι. Ἐγὼ μὲν οὖν εἶμι ὡς ἐκεῖνον· ὅ,τι δὲ δράσων ἢν δύνωμαι, αἰσχύνομαι μὲν λέγειν· ἀλλ' ὅτι βούλομαι πράττειν, ἢν δύνωμαι. τὰ δὲ αὐτόθι ἐπιμελοῦ τε τῶν ἡμετέρων ἥκιστα μὲν ἐπιφανῶς, ὅτι οὕτως ἀμφοῖν συμφέρει μάλιστα· καὶ μέντοι πεφροντισμένως, ὥσπερ καὶ εἰ [1] ποιήσεις εὖ οἶδ' ἐγώ. Καὶ [1] μᾶλλον γένοιτο φανερῶς ἐπιμελήσεσθαι τῶν ἐμῶν, ἢ ἀμελῶς [1] αὐτῶν διαπεθήσεσθαι δέδοικα. ἀλλὰ κἀκεῖνο γε εἰ μὲν στέργεις, εὐλαβοῦ, πρῶτον μὲν [1] αὐτοῦ ἕνεκα· ὡς ἐμοὶ τῆς ἐμῆς ψυχῆς ἄξιος εἶ· εἶτα καὶ δι' ἐμὲ, καὶ τὰ ἄλλα, ἵνα πολὺν ἡμῖν χρόνον ὠφέλιμος εἴης καὶ χρήσιμος. ταῦτα μὲν ὧδε [1] ἐπίσταται ἡμῖν, ἢ ἐνόμιζον εἶναι παρὰ σέ. πειράσομαι δὲ καὶ τὰ λοιπὰ, ὅπως ἂν ἡμῖν ἔχῃ, διαδηλοῦν σοι τάχιστα, ἵνα μηδὲν ἀγνοῇς τῶν ἐμῶν.

1 ἢ ποιήσεις

1 ἴσ. ἢ μᾶλλον γε τὸ φανερῶς

1 ἴσ. αὐτὰ διαπεθήσεσθαι

1 ἴσ. σαυτοῦ

1 ἴσ. ἐπίστασθαι ἡμῖν, ἢ ἐνόμιζον εἶναι παρὰ σοί.

Argu-

Argumentum XV. Epistolæ.

CAllias, vt Plutarchus in Aristide ait, facem in sacris Cereris præferebat; propinquus Aristidis; vir opulentus. is in Themistoclem, perpetuum Aristidi æmulum, eiectum & ærumnis pressum sinistris verbis vsus est. Tulit hoc Themistocles grauiter rei indignitate permotus, quòd vir præter opes haud bonis artibus comparatas, nulla virtute spectatus obstreperet: & ignauiam obiicit ac linguæ procacitatem: additis quoque minis, si quando fortuna suffragaretur.

Θεμιστοκλῆς Καλλίᾳ.

ΜΗ' ζήλου σὺ Καλλία Ἀριστείδην τοῦ φθόνου, οὐδὲ γὰρ ἐκεῖνος πολλάκις ἔφη ζηλῶσαι τοῦ πλούτου· καί τοι μακρῷ ἄμεινον ἦν. Διὸ πάντες εὔχονται σφίσιν αὐτοῖς καὶ γυναιξὶ σφετέραις κἀκεῖνον ¹ ἀσπάζεσθαί σε· ἢ ἃ πάντες ἐχθαίρουσιν, καὶ ἐπάρατα ἡγοῦνται, ἐκεῖνα μιμεῖσθαι. ¹ μηδὲν σὺ ἔτι, μηδὲ σωφρόνιζε Ἀθηναίους, ὅτι εἰκαίως χειροτονοῦσιν, καὶ ἐκ τῶν ἀναξίων αἱροῦνται προστάτας, εἰς ἐμὲ ¹ διαδιτ-τόμενος. ἀλλὰ πρῶτον ἐκεῖνο σκόπει· ἐπιπλήττεις αὐτοῖς νενικηκότας προστάτας κεχειροτονηκόσιν. ἔπειτα ὅστις ὢν αὐτὸς ταῦτα ληρεῖς· καὶ ὅτι οὐδὲ μετὰ πολλοὺς ἄλλους Θεμιστοκλέας στρατηγὸς ἂν ἀποδειχθῆναι δεδυνημένος. οὐ γὰρ τῶν συμβουλ- χρ-

¹ ἴσ. τὰ κατ᾽ ἐκεῖνον ἀσπάζεσθαι

ἴσ. μὴ δὴ σὺ αἰτιῶ

¹ ἴσ. αἰνιττόμενος

Themistocles Calliæ.

INuidia laborantis Aristidis æmulator caue sis Callia; nam & ille tibi non multum inuidere opulentiã dixit: quã quam hoc longè præstantius est. Quocirca omnes sibi suisq. posteris moderationem illius præoptant eorum imitatione, quæ omnes odio habent, & execranda iudicant. Ne igitur culpam in Athenienses conijcias, nec reprehendas vt insipientes, quòd magistratus creent sine consilio, & indignos eligant Præfectos, in me sermonem detorquens. sed primum illud considera. Increpas eos, à quibus creati duces sunt, qui victoriam reportarunt. Deinde, qui vir tu hæc blateras; cum ne post multos quidem Themistocles dux designari potueris. Opus enim erant Athenis duces, & magi- stra-

Plutar. in Aristide.

Plutarch. in Arist. ſtratus, non qui ſepulcris Marathone ſuffoſis, putrefacta Perſarum cadauera in ſubterraneis foueis deſpoliauerunt, ſed qui commiſſo nauali prælio ad Salamina & ad Eubæam proſtrauere hoſtiles copias. nec qui pecunioſi admodum ſint, at vnde pecuniam coegerint, dicere non habeant: verum qui magna & egregia opera præſtiterunt. Tu verò, qui quo plurimum vales nullam Athenis vtilitatem attuliſti; anxiè nimis & curioſè inquiris ea, ad quæ vnus ex omnibus Athenienſibus es minimum aptus. & tantis quidem opibus, quantis affluebant non paucæ Perſarũ myriades: quas tu detractis ſpolijs hæres omnium factus, neſcio quomodo ijs abſtuliſti qui pugnarunt, & vniuerſæ Vrbi, nec paruo, nec magno emolumento vnquam patriæ fuiſti: ſermone verò, quo infantiſſimus es, illam caſtigare audes: deq; bellica re obiurgas Athenienſes, quòd ita, vel non ita deliberarint, qua tu es homo nihili & inertiſſimus. Sed res ſic habet Callia: Viuos leones nec tauri ferunt, nec vlla ferarum quantalibet magnitudine & robore præſtan-

μαχησάντων τοὺς ἐν τοῖς λάκκοις ἐν Μαραθῶνι κατασεσηπότας Περσῶν, ἀλλὰ κατὰ ¹τῶν ναυμαχησάντων καὶ ἀποκτεινάντων τοὺς ἐν Σαλαμῖνι καὶ ἐν Εὐβοίᾳ παρατεταγμένους ἔθνει στρατηγῶν ¹καθόλου τῶν ἡγεμόνων τῇ πόλει. οὐδὲ πολλὰ μὲν χρήματα κεκτημένων, ὁπόθεν δὲ αὐτὰ κέκτηνται εἰπεῖν οὐ δυναμένων· ἀλλὰ μεγάλα καὶ καλὰ ἔργα διαπεπραγμένων. Σὺ δὲ ἐν οἷς δυνατώτατος ἦσθα αὐτὸς ἑαυτοῦ καὶ τῶν ἄλλων οὐδὲν ὀνήσας τὴν πόλιν, ἐν οἷς ἀχρηστότατος εἶ πάντων Ἀθηναίων, αὐτὴν ἐν τούτοις περιεργάζεσθαι καὶ πολυπραγμονεῖν ἐπιχειρεῖς· Καὶ κατὰ πλοῦτον μὲν τοσοῦτον ὄντα, οἷον οὐκ ὀλίγαι μυριάδες Περσῶν ἐπλούτουν, οὓς πάντας σὺ ἐκληρονόμησας, οὐκ οἶδ' ὅπως ἀφελόμενος τοὺς μαχεσαμένους αὐτοῖς καὶ τὴν πόλιν σύμπασαν τὰ λάφυρα, οὔτε μικρὸν, οὔτε μέγα οὐδὲν ὤνησας οὐδέποτε τὴν πατρίδα. λόγοις δὲ ἄρα, ἐν οἷς σὺ ἀδυνατώτατος, σωφρονίζειν αὐτὴν ἐπιχειρεῖς· καὶ ¹πολεμικῶν ἔργων, ἐν οἷς ἀχρηστότατος εἶ καὶ ἀνανδρότατος, ἐπιτιμᾷς Ἀθηναίοις οὕτω καὶ μὴ οὕτω διαγνοῦσιν. ἀλλ' οὐδ' ἔχει ὦ Καλλία. τοὺς λέοντας ζῶους μὲν ὄντας οὔτε οἱ ταῦροι ὑπομένουσιν, οὔτε ἄλλο τι τῶν παμμεγάλων καὶ ἀλ-

¹ κατὰ, δηλοῦ παράλληλο

¹ ἴσ. καθόλου τῇ ἡγεμ.

¹ ἴσ. καὶ τῶν πολεμ.

ἀλκίμων θηρίων· πεσόντων δὲ αὐτῶν καὶ κειμένων οὐδὲν θαυμαστὸν, εἰ καὶ μύες ἐπ' αὐτοὺς ἀναβαίνουσιν. ὥστε καὶ σὺ νῦν μὲν ἀπόλλυς [1] ἡμῶν ἡ βούλει καὶ ἐμπηδᾷς, ὅτι πᾶσιν ἐσμὲν περίπατος. οὐδὲν μέντοι τῶν ἀδοκήτων, εἰ καὶ ἡμῖν ποτε ἔτι γ' οὖν ἐμπνέουσι, καὶ τὴν ψυχὴν ἔχουσιν δώσει θεὸς ὑπομνῆσαι ταύτης τῆς δημηγορίας· δώσει δ' εὖ οἶδα. Οὐκ ἀρετᾷ κακὰ ἔργα, φασὶν οἱ ποιηταί.

[1] ἴσ. ἐφάλλῃ ἡμῖν ἢ βούλει καὶ ἐμπηδᾷς, ὅτι πᾶσιν ἐσμὲν πεπτωκότες.

ſtantium. ſed proſtratis & mortuis non mirum, ſi & mures inſultant. Quare tu etiam nunc quidem vt lubet, inſilis & irruis in nos, quando res noſtræ iacent. Forſan nobis quoque ſpiritum adhuc ducentibus, & animam habentibus dabit Deus, vt ad memoriam tuæ concionis te reuocemus. Dabit autem ſat ſcio. Nunquam ſuccedunt male facta; aiunt poetæ. Odyſ.θ.

Argumentum XVI. Epiſtolæ.

PRomiſerat Habronycho ſupra Themiſtocles ſcripturum ſe, quicquid poſt illud tempus eueniſſet. Scribit ergo de ſua ad Regem Perſarum profectione, quam Habronychus antea ſibi ab Euxitheo narratam Themiſtoclis nomine nec probare volebat, nec improbare.

Θεμιστοκλῆς Ἀβρωνύχῳ.

ΤΕθάῤῥηταί μοι τὰ μεγάλα καὶ δεινὰ ἐκεῖνα ὦ Ἀβρώνυχε, ἃ [1] καί σοι παρ' ἡμῶν Εὐξίθεος ἀπὸ γλώττης διαλεξάμενος, καὶ [1] δηλώσαι ὅπως μοι διέγνωσαι. σὺ δ' ἐσιώπας, ὡς ἔφασκεν ἐκεῖνος, εἰς τὴν γῆν κύπτων· ἐπαινεῖν μὲν οὐκ ἔχων, ὡς ἐμὲ εἰκάσαι, κωλύειν δὲ οὐκ ἐθέλων. καὶ καλῶς ποιεῖς, οὐ γὰρ ἂν ἐκώλυσας· βλασφημεῖν δὲ οὐχ ἡρ-

[1] ἴσ. ἃ μεμήνυκέ σοι περὶ ἡμῶν.
[1] ἴσ. καὶ δηλώσας

Themiſtocles Habronycho.

MAgna illa & ardua ſum audacter aggreſſus Habronyche, quæ iam audieras Euxithei ore, meis verbis tibi meum conſilium exponentis. tu verò tacebas, vt ille aiebat, oculis humi defixis: quòd, vt conijcio, nec approbare poſſes, nec impedire velles. & rectè quidem; neque enim impediſſes. maledicta verò dicere non conue-

ueniebat. sed eo iam, eo; sedensq. in rheda hæc scripsi. Vale: & quod ad nos attinet, læto sis animo.

ἥρμοττεν. ἀλλ' ἅμα τε, ἅμα καὶ ἐπὶ τῆς ἀπήνης ἤδη καθεζόμενος ταυτὶ γέγραφα. εὖ πράττε, καὶ περὶ ἡμῶν εὐθύμει.

Argumentum XVII. Epistolæ.

Post naualem ad Salamina victoriam constituto à Græcis iudicio, vt Diodorus narrat libro 11. quibus nam primæ deferendæ essent; Lacedæmoniorum opera factum est, vt vniuersis Græcorum populis præferrentur non Athenienses; quorum maior pars nauium, & virtus maximè enituit; sed Æginetæ; virorum autem iudicaretur præstantissimus Aminias Aeschyli poetæ frater: addit Herodotus lib. 8. Polycritum, & Eumenem. De Themistocle autem varia dicunt Plutarchus & Diodorus. Ille, quod congregati ad Isthmum Græci palmam sibi quisque suffragio suo daret, post se vero Themistocli. ex quo factum, vt vnus Themistocles omnium suffragio iudicaretur optimus. Diodorus autem; Quòd Atheniensibus grauiter ferentibus se posthabitos, veriti Lacedæmonij, ne quid mali Themistocles moliretur in Græcos, præmia quæ palmam adeptis dederant, illi duplicarint. Quæ cum accepisset Themistocles, Præturam amisit. Scribens igitur ad Aminiam Themistocles, & res suas commendatas illi volens, redigit in memoriam, vt trierarchus ille sub nauarcho Themistocle esset; vt magnos honores adeptus fuerit Themistoclis causa; & ipse in se multos è potentioribus hac ipsa de causa irritauerit. Postremo antiquæ nobilitatis nomine, & fratrum eius exemplo rogat, vt opera & auctoritate sua & sibi & filijs & vxori non desit.

Themistocles Aminiæ S.

ET si diu inter nos mutua familiaritate non sumus vsi, in omni tamen nostra vita similes fuimus; & alter alteri non crebro quidem, sed præclaram nauauimus operam. vt

Θεμιστοκλῆς Ἀμεινίᾳ χαίρειν.

ΕΙ' καὶ μὴ κεχρήμεθα ἀλλήλοις πολὺν χρόνον, ἀλλ' ἐοίκαμεν ἀλλήλοις πάντα τὸν βίον· ἡ αἵ τε χρεῖαι μοι κεκοινώνηνται, μεγάλαι δέ· ὥστε ἀποχρῆν ἡμῖν τὴν

ὑφ. αἵ τε χρεῖαι ἡμῶν κοιναί. πολλαὶ μὲν, μεγάλαι δέ.

τὴν ἡμέραν, ᾗ ἐναυμαχήσαμεν ἐν ταύτῃ, οὐ στρατιᾶς μέρος ὄντες, ἀλλ' ἐγὼ μὲν ὢν ¹ οὗ οἶδας, καὶ οἱ πλείους τῶν νῦν ὄντων ἀνθρώπων· σὺ δὲ τριήραρχος, ὡς τοῦ παντὸς ἀριστεύων ναυτικοῦ. ὑπὲρ μείζων καὶ βεβαιοτέρα φιλία, ἢ συναριστῶσι καὶ συνδειπνοῦσιν ¹ ὅς ἡμέραι ἀνθρώποις εἶναι διὰ σὲ τὸ Τιθωνοῦ δὴ λεγόμενον γῆρας, διὰ τὸν χρόνον ἂν γένοιτο. πρός γε μὴν ¹ οὕτως ἀνδρεῖον ὄντα σε καὶ δίκαιον, οὐδὲ ἀμνήμονα εἶναι πείθομαι ὧν χρεὼν μεμνῆσθαι, ἀλλὰ τὸν καιρὸν ὁρᾶν ἐκεῖνον οἴεσθαι παρόντα, ἐν ᾧ σὺ μὲν ἐπιβόητος εἰς πάντας ἐγένου δι' ἡμᾶς, ἡμεῖς μέντοι διὰ σὲ πολλοῖς καὶ δυνατοῖς οὐκ Ἀθηναίων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἑλλήνων προσεκρούσαμεν. ἢ πῶς οὐ δεινὸν ἂν γένοιτο, Ἀλκιβιάδην μὲν καὶ Στράτιππον, καὶ Λακείδην, καὶ Εκμόχλην τοὺς Ἀθηναίους· τὸν αἰγινήτην δὲ Ἀριστείδην, καὶ Δέρκωνα τὸν Ἐπιδαύριον, καὶ Κέλωνα τὸν Τροιζήνιον, καὶ πολλοὺς ἄλλους τῶν ἑλλήνων προδοσίας τῆς ἐμῆς στρατηγίας καταδικάζειν, δι' ἣν ¹ αὐτὸ τοῦτο, ὧν ἕκαστος βούλεται τοῖς ἄρχουσιν ὑπάρχειν τὰς ἑαυτῶν

¹ ἴσ. ὅπερ οἶδας

¹ ἴσ. ὅσας ἡμέρας

¹ ἴσ. τῷ οὕτως ἀνδρεῖον εἶναι σε καὶ

¹ ἴσ. δι' αὐτὸ τοῦτο

vt nobis sufficiat vnus ille dies, quo pugnam naualem simul pugnauimus, non vt exercitus pars; sed ego quidem is, quem tu nosti, & plurimi hominum; tu verò trierarchus, & vniuersæ nauticarum copiarum multitudini virtute præcellēs. quæ maior & firmior amicitia est, quam foret ob diuturnitatem prandia cœnasque communes agentibus per tot dies, quot fuisse velis quam aiunt Tithonis senectam. Non ergo te solum opinor strenuum & probum, sed nec eorum immemorem, quæ meminisse oportet; ac illud tempus adesse putantem, quo tu nostra causa multùm es nomen consecutus; nos autem propter te apud multos ac potentes, non tantū Athenienses, sed alios etiam Græcos offendimus. An verò ferendum erit, Alcibiadem quidem & Stratippum, & Lacridem, & Ecmochlem Athenienses; Aeginetam verò Aristidem, & Derconem Epidaurium, ac Celonem Træzenium, multosq. alios ex Græcis, accusare me proditionis dum nauarchi imperio fungerer, eam ipsam ob causam, quam inesse quisque in ijs vult, qui magistratum gerentes patrias liberant; & eorum ini-

mi-

micitias, tua causa me susce-
pisse. Qui iustam quidem tu-
Diodor. lib. 11. lerunt de deferenda præstan-
tiori palma sententiam; sed
postmodum indignabundi ea
gesserunt, per quæ ab illis mul-
tisq. alijs agor & feror. te
vero & tuo ipsius nomine, &
loco illorum omnium mihi
non esse amicum? & iniqua
maleficiorum recordatio for-
tior omnino erit acceptorum
beneficiorum iusta memoria?
plusq. illi valebunt ad inferen-
da nobis mala, quàm ad curan-
da tu commoda? Verum ego
hæc non crediderim de Ami-
nia filio Euphorionis; viro non
paterna solum, sed & consan-
guineorum nobilitate illustri;
Cynægiri, qui bello Maratho-
niaco egregia bellicæ virtutis
opera præstitit: Aeschyli, qui
toto vitæ curriculo eruditio-
nis temperatiq. animi laude
præstat. Nimirum tu & tui
ipsius sectator eris; & fratrum
similis; tuoq. nauarcho auxi-
lium feres. Optimus verò fe-
rendi auxilij modus erit, In
singulis quibusq. concionibus
obniti. Et si in publicis con-
uentibus profitearis te laturum
opem, & in rebus honestis non
defuturum, si noui quid in
nos, vel miseram vxorem, vel
natos consuatur; & adhibean-
tur

τῶν πατρίδας ¹ ἀρκουμένοις· ¹ ἴσ. ῥυομένοις
ὅτι περὶ σοῦ μοι αἱ ἀπεχθείας ¹ ἴσ. εἰ
ἐγένοντο. Καὶ ἐδικάσαντο ¹ ¹ ἴσ. μὲν ὀρθὴν
ὀρθὴν τὴν περὶ τῆς ¹ ἀρίστου ¹ ἴσ. ἀριστείων
δίκην, ¹ ἐνεμεσήσαντες δὲ ¹ ἴσ. ἐνεμέσησαν
δι' ὧν ὑπ' ἐκείνων καὶ ἄλλων
πολλῶν καὶ ἄγομαι, καὶ φέ-
ρομαι. ¹ μὴ οὐχὶ τὸ ἑαυτοῦ ¹ ἴσ. σὲ δὲ μὴ
τε καὶ τὸ ἀντὶ πάντων ἐκείνων
εἶναί μοι φίλον. καὶ ἐρρωμενέ-
στερον τῷ παντὶ τῆς εὐχα-
ριστίας μετὰ τοῦ δικαίου ¹ ὑμῖν ¹ ἡμῖν
ὑπάρξει ἡ μετὰ τοῦ ἀδίκου μνη-
σικακία. καὶ μεῖζον ἐκεῖνοι δυ-
νήσονται κακοῦντες ἡμᾶς ἀδί-
κως, ἢ σὺ δικαίως εὖ ποιῶν.
ἀλλ' οὐ γὰρ πείθομαι ταῦτα
περὶ Ἀμεινίου τοῦ Εὐφορίωνος,
ἀνδρὸς οὐ τῇ πατρῴᾳ μόνον
εὐγενείᾳ γνησίου, ἀλλὰ καὶ τῇ
τῶν συγγόνων, Κυναιγείρου
μὲν τοῦ Μαραθωνιακοῦ πολέ-
μου διενεγκόντος τὰ πολέμια,
Αἰσχύλου δὲ ἐν παντὶ τῷ βίῳ
κατὰ παιδείαν καὶ σωφροσύνην
διαφέροντος· ἀλλὰ καὶ μιμη-
τὴς αὐτὸς ἑαυτοῦ, καὶ τοῖς ἀ-
δελφοῖς ὅμοιος ἔσῃ, καὶ τῷ
σεαυτοῦ ναυάρχῳ βοηθήσεις.
ἡ δὲ βοήθεια ἀρίστη, ἀντέ-
χειν ἐν ταῖς ἐκκλησίαις ἑκά-
στοτε. Καὶ ἐν μὲν τοῖς δη-
μοσίοις συλλόγοις, ἐπὶ και-
νότερον ἐφ' ἡμῖν ῥάπτοιτο καὶ
μηχανῷτο ὑπὸ τῶν ἐξελα-
σάντων ἡμᾶς κακόν, ἢ ¹ τῆς ¹ ἴσ. κατὰ τῆς
ἀθλίας μου γυναικός, ¹ ἐπὶ ¹ ἴσ. ἐπὶ καὶ παί-
δων τῶν
καὶ

καὶ οὐ τῆς ἡμετέρου, ἐπαγγέλλοιο συλλαμβάνειν, καὶ ὑπουργεῖν τὰ μέγιστα, εὖ ποιήσεις. εἰ δὲ ἐπαγγέλλοιο, οὐδέν σε ὀχλήσει πλέον ἐπιμελείας καὶ ἐπαχθοῦς φροντίδος.

tur machinæ ab ijs, qui nos eiecerunt in exilium, ita beneficium contuleris. Quòd si profitearis, nihil plus molestiæ habebis, quàm quòd diligentem laboriosamq. curam susceperis.

Argumentum XVIII. Epistolæ.

Themistocles cum Aristide, cui Athenienses Iusti cognomen indiderant, in administranda Republica simultates gessit. Aristidem Themistocles, dum gratia & auctoritate floreret, iure ostracismi egit in exilium. Aristides verò Themistocli etsi non fecit paria; quippe vt vir probus, & iniuriæ immemor; quod Plutarchus in Aristide, & Themistocles ipse epistola septima & nona testatur: vitare tamen suspicionem male sentientis de profectione eius ad Regem Persarum non potuit. De hoc ergo scribit Themistocles; & quasi iam in tuto positus Aristidem exagitat.

Θεμιστοκλῆς Ἀριστείδῃ.

Ηράμεθα εἰς Πέρσας ὦ Ἀριστείδη, ἤραμεθα· καὶ οὐδὲν δεινὸν ἐπάθομεν ὑπ' αὐτῶν. οἶδα δὲ, ὅτι κατὰ σαυτὸν θαυμάσῃ, τοῖς δὲ προσποιήσῃ μὴ παρ' ἐλπίδα σοι τοῦτον τὸν λόγον λελέχθαι. ἅμα καὶ τεκμηρίῳ χρήσῃ πρὸς τὸ πλῆθος, ὅτι βεβαιοῦται μου ἡ διαβολὴ τῇ τ' ἐμῇ εἰς ἐκείνους ἐλπίδι, τῇ τ' ἐκείνων φιλοφροσύνῃ εἰς ἐμέ. ἀλλ' ὅταν ταῦτα ληρῇς ἔχων, ἐπιπεσεῖται σοι τὸ ἐν Σαλαμῖνι τρόπαιον· ἐστι δὲ

1 τοῖς δὲ λοιποῖς

Themistocles Aristidi.

Profecti sumus, Aristides, profecti sumus ad Persas; & nihil mali passi sumus ab ijs. miraberis tecum ipse scio; cæteris verò simulabis, haud quaquam esse præter spem hoc tibi dictum. Assumes id tu etiam tamquam certum argumentum ad plebem, ex mea in eis spe, & eorum humanitate in me probari quod in me finxit calumnia. Has nugas dum garris, ruet in te trophæum in Salamine erectum. lapideum illud

illud esse scis, & mole permagnum; cuius auctor ego; vt maiores in populo turbas commoueas, & beneficia conferentibus inuideas: siquis Deus non pro tua arrogantia iustus, sed re vera hoc titulo dignus saxum illud in execrandum & ingratum tuum caput deuoluat. Me verò vult saluum magnus Rex, non vt gratiam referat; (certè enim passus, quæcumque passus est, nostris beneficijs egregiè responderet) sed inimicum quidem sibi me in alijs norat, at virtutem admiratus est, & fortunam miseratus. Quocirca si propter me legationem mitteretis ad illum, iniquè vos egisse iudicaremini, vt is iniqua passum subleuaret: & eijcientes vos miserandum fecisse, vt merito ille miseraretur eiectum. Quãquam exules nos iam amplius miserabiles non sumus. Quare disrumpatur licet Aristides Lysimachi filius. Disrumpatur cuicumque iniucundum est, commodius nobis rem euenisse, quàm ipse sperabat.

δὲ λίθινον οἶδα καὶ νεανικῶς εὐμέγεθες, οὐχ' [1] αἴτιος ἐγὼ μαι μᾶλλον δῆμον ταράττοις, οὐδ' ἄλλοις εὐεργέταις φθονηθήσῃ, τίς ἄρα δαίμων οὐ κατὰ τὴν σὴν ἀλαζονείαν δίκαιος, ἀλλὰ ἀληθινῶς, ἐκείνην τὴν πέτραν εἰς τὴν ἐπάρατόν σου καὶ ἀχάριστον κεφαλὴν ἐκβάλοι. Ἐμὲ δὲ οὐκ ἀντευποιῶν περισώζεται βασιλεὺς ὁ μέγας· ἢ [1] τὸ μήκιστον ἂν ἡμῖν ἐχαρίζετο ἀμειβόμενος, μαθὼν [1] ἃ πεπόνθε. ἀλλὰ τοῖς μὲν ἄλλοις ἐχθρὸν ᾔδει με αὐτῷ, τῆς δ' ἀρετῆς ἐθαύμαζεν, καὶ τῆς τύχης ᾤκτειρεν. τοιγάρτοι [1] κινδυνεύσετε αὐτοὶ περὶ ἐμοῦ ἐπιπρεσβεύεσθαι παρ' ἐκεῖνον, [1] ἥ ποιήσετε αὐτοὶ ἠδικεῖτε, ἵν' ἐκεῖνος βοηθοίη ἀδικουμένῳ· αὐτοί τε ἐλεεινὸν ἐποιεῖτε ἐκβάλλοντες, ὁ δὲ ἄρα ᾤκτειρεν εἰκότως ἐκβεβλημένον. ἀλλ' οὐ γὰρ ἐλεεινοὶ τὰ νῦν ἔτι οἱ φυγάδες ἡμεῖς. ὥστε πνιγέσθω μὲν ὁ Λυσιμάχου υἱὸς Ἀριστείδης· πνιγέσθω δὲ πᾶς, ὅτῳ μὴ καθ' ἡδονήν ἐστιν, ὅτι δεξιώτερον ἡμῖν ἀπήντηκεν, [1] ὡς [1] ἢ ὡς αὐτὸς ἤλπιζεν.

[1] ἴσ. οὐ αἴτιος ἐγὼ, ἵνα μᾶλλον τὸν δῆμον ταράττοις, καὶ τοῖς εὐεργέταις φθονῇς· εἴ τις ἄρα δ. οὐ κατὰ τ. σ. ἀλ. δίκαιος, ἀλλ' ἀληθινός

[1] ἴσ. τὸ μέγιστον

[1] ἴσ. παθὼν ἃ ἐπεπόνθει

[1] ἴσ. κινδυνεύσετε εἰ περὶ

[1] ὅτι περ αὐτοὶ ἠδικεῖτε, ἵν' ἐκεῖνος

Argu-

Argumentum XIX. Epiſtolæ.

Monuerat ſupra Themiſtocles Pauſaniam, vt fortunæ viciſſitudinem caueret, & populari auræ diffideret. Ille iam animo corruptus moliebatur, vt primo libro ait Thucydides, imperium Græciæ. miſſaq. ad Regem Perſarum epiſtola, Spartam illi, & reliquam Græciam promittebat, dum Rex illi filiam in matrimonium daret. annuit Rex, & maioribus promiſſis pellexit Pauſaniam. ille Plataenſi victoria elatus, & amicitia Regis inſolentior factus, & moribus, & habitu, & ſatellitio cœpit imitari Medos. vt tandem Spartani vocatum iterum ac tertio omni poteſtate nudauerint, denique detectis omnibus proditionis machinis morte affecerint. De quo Thucydides, Diodorus Siculus libro 11. & Plutarchus in Themiſtocle. Has ignominias obijcit illi Themiſtocles, & perfidiam exprobrat, vir hac de cauſa omni laude digniſſimus.

Θεμιστοκλῆς Παυσανίᾳ χαίρειν.

Ἀπολελόγισαι ὑπὲρ τῆς τύχης ὦ Παυσανία. δι' ὧν γὰρ οὕτως ἠτύχηκας, δικαίως ἀφῄρησαι καὶ ἡμᾶς τοῦ κατηγορεῖν ἔτι τῆς τύχης. σὺ γὰρ ἐπιχειρῶν Μῆδος γενέσθαι Λακεδαιμόνιος ὤν, καὶ Μήδοις προσθεὶς τὴν Ἑλλάδα, ἀρχῆς [1] μόνον ἀπεστέρησαι, ἧς ἐφ' Ἑλλησπόντῳ ἦρχες, καὶ ἐξουσίας δι' ἧς ταῦτα ἔπρασσες· αὐτὸς δὲ [1] περιιὼν, καὶ κατὰ καιροῦ ποθεὶς, ἐν ᾧ τι τῶν διεγνωσμένων καὶ δρᾶσαι δυνήσῃ. ὥστε σὺ τὴν τύχην ἠδίκηκας, ἣν τότε εἶχες, οὐ σὲ ἐκείνη. Καὶ νῦν ἔτι εὐτυχεῖς, ὅτι κινδυνεύεις ἀκ-

[1] ἴσ. μὲν

[1] ἴσ. περιιὼν ἄνω καὶ κάτω καιρὸν ποθεῖς, ἐν ᾧ τῶν διεγνωσμένων τι

Themiſtocles Pauſaniæ S.

Dediſti fortunæ ſuam defenſionem Pauſania. per mala enim, in quibus nunc es, iure nobis quoque abſtuliſti facultatem accuſandi amplius fortunam. Nam tu cum Lacedæmonius ſis, eſſe Medus voluiſti, atque ad Medorum regnum adiungere Græciam. quamobrem præfecturam Helleſponti amiſiſti, & auctoritatem qua hæc agebas, tu verò circumeundo huc illuc vagaris, & opportunitatem deſideras, qua effectum reddas aliquid ex ijs, quæ ſtatuiſti. Itaque fortunæ, quam tunc temporis habebas, iniurius tu fuiſti,

sti, non illa tibi. & nunc prospera adhuc fortuna vteris. insuper enim tibi periculum imminet, & Lacedæmonij te morte mulctabunt. solatium tibi erit, quòd non iniustam lues mortis pœnam. Cum Artabazo fœdere coniunctus, & Regis esse gener supra modum expetis. At quomodo te putas par pari referre? Ducis vxorem barbaram, simulque Cariam forte aut Phrygiam accipis: das autem Græciam, & vrbes Græcorum, nec Lacedæmona excipis. Et perfecturum te cogitata speras insulse. Cum verò te frustrata fuerit spes, cognosces solum tibi sensum proditoris fuisse, opera non præsto esse. Non tam longè distant à Peloponneso Pausania Troas & Colonæ, quo te abdidisti ad agenda negocia Regis, vt ad hæc loca non perueniat tuorum operum fama. Sed Polypnionis opera, & Gongyli Eretriensium scelestissimi vteris ad negocia Regis; qui etiam perferendis litteris aptus tibi fuit tabellarius. Hæc in Græciam peruulgauit fama & Mnestoridas: quem tu, quòd Lacedæmonius sit, & hoc esse velit, teq; assiduo legum Spartanarum admoneat, contumelijs onerasti; & pro-

ἀκμήν, καὶ μέλλεις ἀποθανεῖσθαι ὑπὸ Λακεδαιμονίων· ἕξεις παραμυθίαν, ὅτι [1] καὶ οὐκ ἀδίκως ἀποθνήσκεις.

> 1 ἴσ. ὅτι οὐκ ἀδίκως

Ἀρταβάζῳ ὑπερφυῶς ἔνσπονδος, καὶ βασιλέως γαμβρὸς εἶναι ὀρέγῃ. Καὶ πῶς ἴσα ἀντὶ ἴσων οἴει διδόναι τι καὶ λαμβάνειν; ὅς γε λαμβάνεις μὲν γυναῖκα βάρβαρον, καὶ γῆν μετ' αὐτῆς Καρῶν τάχα ἢ Φρυγῶν. δίδως δὲ γῆν τε τὴν Ἑλληνίδα, καὶ πόλεις τὰς Ἑλλήνων, οὐδὲ Λακεδαίμονα ἐξαίρεις. Καὶ τελέσειν ἃ διέγνωκας ὦ μάταιε ἐλπίζεις. [1] ἀποτυχών τι γῆς εἴσοπισου τὸ φρόνημα μόνον ἦν προδότου, τὰ δὲ ἔργα ὑστέρησεν.

> 1 ἴσ. ἀποτυχὼν γ' οὖν εἴσῃ, ὅτι σου τὸ φρόνημα

οὐχ οὕτως ὦ Παυσανία μακρὰ διείργεται τῆς Πελοποννήσου ἥ τε Τρῳὰς αὐτὴ καὶ Κολωναί, ἔνθα σοι κατεδύου τι τὰ βασιλεῖ συμφέροντα [1] μελετῶν, ὥστε τὴν σῶν ἔργων κωφὰ ταἰνθάδε εἶναι.

> 1 μέλλ

ἀλλά σοι τὰ πρὸς βασιλέα ἡ Πολυπνίων ὁζὶν, ἢ [1] Γόπυλος ὁ κάκιστος Ἐρετριέων· ἄν τι καὶ τούτῳ ἀγαθῷ κέχρησαι ἀγγελιαφόρῳ· εἰς δὲ τὴν Ἑλλάδα φῆμαι ταῦτα ἀγγελιαφοροῦσι, καὶ Μνησοείδας· ὃν σὺ Λακεδαιμόνιον ὄντα, καὶ μένειν τοῦτο βουλόμενον, καὶ σοὶ ῥῆσιν ἀεὶ ποιούμενον τῶν ἐν Σπάρτῃ νόμων, ὑβρίσας [1] ἴχειν, καὶ μό-

> 1 Γόγγυλος. Θουκυδ. καὶ Διόδ. Σικελ.
>
> 1 ἔχεις

νος τῆς προδοσίας ἀπολαύεις. ἀλλὰ σκόπει ὦ σχέτλιε, ἔτι σε Ἀρτάβαζος ὀνήσει Λακεδαιμονίων καλεσάντων, ἢ ἡ τοῦ βασιλέως θυγάτηρ ἤδη οὖσα ὡραία γάμου. Καί σοι ταῦτα ὑφ᾽ ἡμῶν γραφόμενα πολὺ ἀλγύνθω χαλεπώτερα καὶ δι᾽ ἡμᾶς, ὅτι σοι ταῦτα αὐτοὶ φυγάδες ὄντες ὀνειδίζομεν.

& proditione ſolus perfrueris. At conſidera miſer, qua te re iuuare queat Artabazus vocatum à Lacedæmonijs, aut Regis filia iam viro matura. Hæc porro, quæ nos ſcribimus, longè maiorem tibi moleſtiam afferāt & propter nos; Quòd qui exules ſumus, hæc tibi probra obijcimus.

Argumentum XX. Epiſtolæ.

Continet hæc epiſtola, quicquid Themiſtocli obuenit, poſtquam Argis abſceſſit vſque ad peregrinationem Perſicam. Multas hic minutias reperias, quarum vel nulla mentio fit in hiſtorijs, vel diuerſo, aut etiam contrario modo fit. ſicut & ipſe quæ de Admeto narrat epiſtola 11. aliter hic videtur expoſuiſſe, cum certè rem in ea preſſius, in hac latius explicauerit, vt ex vtraque narratione vnam conficias integram. Quare qui confictas epiſtolas baſce vult, fateatur neceſſe eſt, aut de ſuo aliquid addidiſſe ſimulatum ſcriptorem. tumq. vix credi poteſt, quo pacto omnia cõueniant. ex veris enim & fictis nunquã fit vna cohærenſ & ſibi cõſtans hiſtoria. aut olim extare alium ſcriptorem, de quo ille ſumpſerit; & latuerit auctor ille Thucydidem, Plutarchum, & Diodorum Siculum. ſed hoc diuinare eſt, & non perpendere quid phraſis valeat, & ſtylus, ac ſententiarum grauitas. Nam ſi Thucydides ipſe admiratus eſt Themiſtoclis eloquentiam; & Thucydidem nemo vnquam potuit imitari; quis putet extitiſſe quempiam, qui ſcribendo auſus fuerit Themiſtoclis perſonam induere?

Θεμιστοκλῆς Πολυγνώτῳ χαίρειν.

Themiſtocles Polygnoto S.

Ταῦτά ἐστιν ὦ Πολύγνωτε τὰ συμβάντα ἡμῖν μετὰ τὴν ἐξ Ἄργους φυγὴν, ἃ παρεκάλεσε γραφῆ-

ναι

Quæ nobis obtigerunt, poſtquam ex Argis profugimus, & ſcribi ad te Polygnote iuſſiſti, hæc ſunt,

quæ

quæ iam ſcribo. Cum nuntius, quem ad me miſiſti, magna celeritate veniſſet; atque inter alia fugiendum eſſe retuliſſet; Argis ſine mora relictis: comitati verò ſunt abeuntem Nicias & Meleager hoſpites mei: Cyllenem maritimum Elæorum oppidum deuenimus. Ibi parum abfuit, quin inſequentes nos expectaremus propter tempeſtatem. Etenim cum nauigationem Corcyram inſtituiſſemus. Corcyrços enim nobis olim beneficijs deuinxeramus; tres totos dies retenti fuimus. & putabamus fugam noſtram Lacedæmonios iam non latere. Verum quarta die nobis valde commoda fuit nauigatio. & comitantes quidem amicos, vbi gratias egiſſem, dimiſi: volebant enim nos vltra etiam fugientes ſequi: naui verò, quam mihi dederant, ſolus Corcyram feliciter ſum aduectus. Porrò Corcyræi non tam grati eſſe, quàm à periculo abeſſe volebant. nobisque referendam pro beneficijs gratiam exigentibus, viciſſim illi loco beneficij petebant, ne exilij terminum Corcyram ſtatueremus. Itaque animi pendebam. Iam enim & nauem remiſeram hoſpitibus Argiuis; & famuli pauci-

ναι σοι, καὶ ἐγὼ γέγραφα. τοῦ
γὰρ ἀγγέλου κατὰ τὴν ¹ σπου- ¹ τὴν) δοκεῖ περιέλκειν
δὴν ἐλθόντος, ὅνπερ ἔστειλας
ἡμῖν, τά τε ἄλλα καὶ φεύ-
γειν ¹ ἀγγέλλοντα, ἄρας αὐ- ¹ ἀγγέλλοντος
τίκα ἀπ' Ἄργους· συνήραν-
το ¹ μοι καὶ τῶν ξένων Νικίας ¹ δέ μοι
καὶ Μελέαγρος· κατῆλθον
ἐπὶ Κυλλήνην τὸ Ἠλείων ἐπί-
νειον. ἐκεῖ δὲ ἐκινδυνεύσα-
μεν ὑπὸ χειμῶνος ἀναμεῖ-
ναι τοὺς διώκοντας ἡμᾶς.
πλεῖν γὰρ ἐπὶ Κέρκυραν ὡρ-
μημένοι, χάριτος ἡμῖν εἰς
Κερκυραίους προϋπηργμένης,
τρεῖς ὅλας κατειχόμεθα ἡ-
μέρας. Καὶ οὐκ ἐδόκει ὅτι
φεύγομεν ¹ ὅτι καὶ Λακεδαι- ¹ ἴσ. ἔτι
μονίοις ἄδηλον εἶναι. τετάρ-
τῃ ¹ γὰρ ἡμέρᾳ πλοῦς σφόδρα ¹ ἴσ. γοῦν
ἀγαθὸς ἡμῖν γίγνεται. Κἀ-
γὼ τοὺς μὲν ξένους ἀπέλυσα
ἐπαινέσας· ἔτι γὰρ ἡμῖν καὶ
πορρωτέρω ἠξίουν συμφεύ-
γειν· ναῦν δὲ ἣν παρέσχοντό
μοι ¹ ἀφεὶς ἐπὶ Κέρκυραν εὐ- ¹ ἴσ. ἀφεθεὶς
τυχῶς διεκομίσθην. Κερ-
κυραῖοι δὲ οὐκ εὐχάριστοι
μᾶλλον ἢ ἀκίνδυνοι ἐβού-
λοντο εἶναι· καὶ ἀμοιβὴν ὧν
εὐηργετοῦντο ἀπαιτούμενοι,
εὐεργεσίαν ᾐτοῦντο, ¹ ἐπὶ ¹ ἴσ. μὴ ἐπὶ
Κερκύρᾳ τὴν φυγὴν κατα-
λύειν. ὥστε ἡμῖν ὅ, τι καὶ
δράσομεν ¹ ἠπόρει τῇ γνώ- ¹ ἠπορεῖτο
μῃ. ἤδη δὲ καὶ τὴν ναῦν
τοῖς ξένοις ἀποπεπόμφειν τοῖς

ἀργαλέοις· εἰκότως τό μοι ἐλάσσονες, ὧν ἀπέλυσα, ἐλείποντο· ἐπεὶ δὲ Κερκυραῖοι καὶ τραχύτερα ἤδη ἐφθέγγοντο, καὶ προδώσειν ἐῴκεσαν πολλῷ μᾶλλον ἢ μαχεῖσθαι περὶ ἡμῶν, ἔγνων ἐπὶ Σικελίαν τε καὶ πρὸς Γέλωνα πλεῖν. Γέλων γὰρ δήποτε Συρακουσίων ἐμονάρχει, καὶ ˡ ἤσθητο οὐ παρέργως ἡμῶν, καὶ οὐκ ἔμελλεν Ἀθηναίοις πείθεσθαι. νῆα δὴ σκέπτομαι ἀνδρῶν Λευκαδίων, ˡ καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ ἔμελλον εἰς τὸν Αὐσόνιον ἐμβάλλειν. καί με ἀπέστρεψε κομισθεῖσα ἀγγελία. ἐτεθνήκει γὰρ ἤδη Γέλων, καὶ πολλὴ περιειστήκει ταραχὴ Ἱέρωνα τὸν ἀδελφὸν αὐτοῦ ἄρτι τὴν μοναρχίαν καθιστάμενον. Καὶ ἐγὼ ὥσπερ εἶχον, τῇ αὐτῇ νηὶ ἐπί τε Ἤπειρον πλέω, καὶ ἀποβὰς εἰς Μολοσσοὺς ἔρχομαι, καὶ ἐπὶ τῇ ἑστίᾳ τοῦ Ἀδμήτου ἐκαθεζόμην. Ἀδμήτῳ δὲ τότε ὑπήκουε τὸ Μολοσσῶν ἔθνος, καὶ ἐδόκει μάλιστα αὐτῷ δι' εὐσέβειαν ἡ βασιλεία ηὐξῆσθαι, καὶ οὐκ ἐφαίνετο περιόψεσθαι ἡμᾶς ἱκέτας γενομένους. Τῶν δ' Ἀθηναίων καὶ Λακεδαιμονίων οἱ πεμφθέντες, ὅπως βίᾳ πάντοθεν με ἄγωσιν, τῇ ἐπιούσῃ ἡμέρᾳ καταπλεύσαντες εἰς Μολοσσοὺς ἀφικνοῦνται. Καὶ καταλαβόντες με αὐτό-

ˡ ἴσ. ἤρτητο

ˡ ἴσ. οἱ τῇ

ciores mihi superant, quàm quos missos feceram. Sed cum Corcyræi asperius iam loqui cœpissent; multoq. magis proditurі, quàm pro nobis viderentur pugnaturi; statutum mihi fuit nauigare in Siciliam ad Gelonem. Gelo enim eo tempore Syracusis principatum obtinebat, nobisq. adhærebat serio, nec erat Athenienses auditurus. Quare nauim hominum Leucadiorum exploro, qui postridie se nauigationi maris Ausonij commissuri erant. sed allatus nuntius à proposito me auocauit; Gelo enim iam decesserat, & frater eius Hiero in regnum succedens magnis turbis iactabatur. Ergo ita vt me habebam, eadem naui vehor in Epirum; & egressus ad Molossos venio, atque ad focum Admeti sedebam. Admeto verò tunc parebat Molossorum gens; videbaturq. auctum illi regnum ob pietatem potissimum; & nos ille supplices non neglecturus. Postero die appulsi ad Molossos aduenere Athenienses & Lacedæmonij, qui me vt vi vndecumque abducerent, missi erant. ibi me depræhenso læ-

tati

tati sunt, & secum me abducturos aiebant. Admetum igitur adeunt, atque ita compellant. Proditorem, Admete, domo & foco excepisti, nec animaduertis: qui nihilo secius te & Molossos prodebat. Et si res illi successisset, nos Admete sederemus ad focum Medorum, hic verò te eiecto regnum fortasse Thesprotorum occuparet. Ita in Pausaniam iniquiores extitimus. Nam eorumdem consiliorum ergo pœnas iam tulit ille, hic verò euasurum se sperat; teq. iniquitatis tutelarem facit. At Pausaniæ nec Chalciæcus opē tulit. Verum tu hunc iube hinc surgere, vt fallaciter agere desinat, tuumque polluere focum. Athenienses autem & Lacedæmonij loco proditoris & exulis vnius tibi sint amici. Contra hæc cum essem ego dicturus, vt putarem illos pudore suffusos à me reiectum iri, anteuertit Admetus. & hoc, inquit, tempus ò Athenienses & Lacedæmonij supplici Themistocli datum est. Si verò & proditoris iudex essem, nec Atheniensibus gratificando, nec Lacedæmonijs Themistoclem absoluerem. & hoc mihi

αὐτόθι ἐχάρησαν, καὶ ἄξειν προὔλεγον. καταστάντες τε Ἀδμήτῳ τοιαῦτα ἔλεγον. Προδότην ὦ Ἄδμητε ἐλάνθανες οἴκῳ τε σῷ καὶ ἑστίᾳ δεξάμενος. οὗτος δὲ ἧσσον οὐδὲν καὶ σὲ καὶ Μολοσσοὺς προεδίδου· καὶ εἰ κατώρθωσεν, ἡμεῖς ὦ Ἄδμητε ἱκέται τῆς Μήδων ἐγενόμεθα ἑστίας. οὗτος δ' ἂν ἴσως καὶ ἀντὶ σοῦ ἐβασίλευσε Θεσπρωτῶν. Νῦν δὲ ἄδικοι ἄρα ἐς Παυσανίαν ἐγενόμεθα. τῶν γὰρ αὐτῶν ἕνεκεν βουλευμάτων ὁ μὲν τετιμώρηται ἤδη, ὁ δὲ σωθήσεσθαι προσδοκᾷ, καὶ σὲ τοῦ ἀδίκου βοηθὸν ποιεῖται. Παυσανίᾳ δὲ οὐδ' ἡ Χαλκίοικος ἐπήρκεσεν. ἀλλὰ τοῦτον μὲν ἀνίστασθαι κέλευε καὶ παύσασθαι γε διαβάλλων, καὶ τὴν σὴν μιαίνων ἑστίαν. φίλοι δὲ σοι ἔσονται Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι ἀνθ' ἑνὸς προδότου καὶ φυγάδος. Ταῦτα εἰποῦσιν αὐτοῖς ἐγὼ ἔμελλον ἀντιλέγειν, ὑφ' ὧν ᾤμην αἰσχυνθέντας αὐτοὺς ἀπελάσεσθαι· ἀλλὰ φθάνει Ἄδμητος εἰπών· Οὗτος μὲν ὁ καιρὸς ὦ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι τὴν ἱκετείαν μόνον τὴν Θεμιστοκλέους δικάσεται. εἰ δὲ καὶ τὴν προδοσίαν ἐδίκαζον, μήτε Ἀθηναίοις¹ ἄν, μήτε Λακεδαιμονίοις¹ εὖ ποιῶν ἀπέλυον

¹ ἴσ. Ἀθηναίους
¹ ἴσ. Λακεδαιμονίους

λυον

λυσιν ἂν Θεμιστοκλέα. Καί μοι ταῦτα ἔδοξα ἂν τήν τε ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν καλέσειν, καὶ τὴν ἐν Σαλαμῖνι, τήν τε Παυσανίου προδοσίαν· ἥτις ὑμῖν, κἂν ἐπὶ Θεμιστοκλέα διαιρῆτε αὐτήν, ἀεὶ μόνου ἔσται Παυσανίου. Καὶ ταῦθ' ὑμεῖς ἐμέ τε ἀγνοεῖν δόξετε, ἐγώ τε ὡς ταῦτ' ἀγνοῶν τὰ τῆς ἱκετείας δικάζω. ἄνδρα τῆς ἐμῆς ἁψάμενον ἑστίας, καὶ δεδιότα μὲν ἀνθρώπους, τοῖς δ' ἐν Ἠπείρῳ θεοῖς πιστεύοντα, ὡς [1]ὄντα φυλάσσω, καὶ ἱκέτην [1] ἀντὶ τούτου εἶναι ἀβλαβῆ. Καὶ οὐκ ἀνθρώποις ποιν ἀπέχθομαι, ἀλλὰ θεοὺς δεδιέναι οὐκ ἀρνοῦμαι· θυσιῶν τε ἡγοῦμαι ἁπασῶν χάριν ἀμείνω εἶναι θεῷ ἱκέτην φυλασσόμενον. Οὕτω μὲν δὴ ἐκεῖνοι κατηφήσαντες ἐκ Μολοσσῶν ἐχώρησαν. ἐγὼ δὲ εἰς Μακεδονίαν ὑπὸ Ἀδμήτου πεμφθεὶς, καὶ εἰς Πύδναν ἐλθὼν πρὸς Ἀλέξανδρον Μακεδόνων ἄρχοντα, πέμπομαι ὑπ' Ἀλεξάνδρου ἐπὶ τὴν ἐκεῖ θάλασσαν. καὶ ἐπιτυχὼν ὁλκάδος εἰς Ἰωνίαν πλευσούσης ἐμβὰς ἐκομιζόμην. [1] Γῆς τε γὰρ οὗ βασιλέως δὴ μάλιστα ἠσθημένος ὢν εἰργασάμεθα ἄν τιν κακῶν, μάλιστα [1] ἔμελλες εἰ δίκαια πεπόνθαμεν γνώσεσθε [1]. πλέοντας δ' εὐκέθ' ἡμᾶς εὔπλοια ἦγεν, ὑφ' ἧς καὶ ἀνα-

χθῆναι

[1] ἴσ. ὡς ὄντι

[1] ἴσ. καὶ δι' ἱκέτην ἀντιπείσομαι ἀβλαβῆ.

[1] ἴσ. γῆς τε γὰρ τῆς ἐχόμενοι, βασιλ. δὲ μάλ. ἠσθημένοι

[1] ἴσ. ἐμέλλομεν

[1] γνώσεσθαι

mihi suggereret naumachia ad Artemisium & Salaminem, ac proditio Pausaniæ; quæ vobis, licet communem esse velitis & Themistocli, semper erit solius Pausaniæ. & hæc vos ignorare me existimatis; & ego tamquam ignorans ea supplici disceptator sum. Virum, qui ad focum meum confugit; & timore quidem hominum perculsum, Dijs verò Epiroticis fretum, pro viribus tutor; & propugno, vt mihi supplex incolumis sit. Nec vllos hominum ego prosequor odio, sed Deos me timere non nego. & seruare supplicem cunctis victimis Deo gratius donum opinor. Ita illi capite demisso è Molossis abierunt: ego verò in Macedoniam ab Admeto missus, & Pydnam profectus ad Alexandrum principem Macedonum, mittor ad vicinum mare ab Alexandro. & onerariam nactus nauem, quæ in Ioniam nauigatura erat, in eam conscendens vehebar. terra enim iter habentes, quæ est in ditione Regis; cui bene nota sunt mala, quibus eum affecimus; percepturi eramus, num iustas penderemus pœnas.

nas. Sed nobis in alto non erat commoda nauigatio, cuius etiam ſpe à terra ſolueramus; verum magna tempeſtate iactabamur. Cæterum me non tam affligebat tempeſtas, quàm quod Naxon deferebamur. Naxos verò tunc ab Athenienſibus diripiebatur, & in eorum copias tranſuecti eramus. Itaque inops cõſilij quid agerem non habebam; & cogitabam ad inutiles ſupplicandi modos deuenire, ac pernicioſam petere fugam. Iam enim nullo labore capturi me erant Athenienſes, & in manus quærẽtium incideram qui fugiebam. Sed quia ijs qui erant in naui, omnibus videbar eſſe ignotus, timebam verò ne me qui in caſtris erant agnoſcerent, è naui non ſum egreſſus. Suſpicionem porro conuectoribus inijciebam, & allaturus illis mali quippiam videbar, & nequaquam aptus nauigationi; vt me etiam eijcere de naui vellent. Cum in hoc periculo eſſem, Diopithes, vnus ex ijs qui mecum nauigabant, patria Bargyliata, qui prius in me ſubinde intuens videbatur admirari; tunc intẽtius conſiderabat; meq. illũ ipſum, quem putabat eſſe, cognouit. Ergo cũ ſolus ad me proximè ac-

χθῶσαι ἐπιέσθημεν· ἀλλ' ἤδη καὶ ἰσχυρῷ χειμῶνι ἐχρώμεθα. Καὶ οὐκέθ' ὁ χειμὼν ἐμὲ τοσοῦτον ἔτι ἐλύπει, ἀλλ' ἐπὶ Νάξον καταφερόμεθα. Νάξον δὲ Ἀθηναῖοι τότε ἐπόρθουν, καὶ ἐπὶ τὸ στρατόπεδον αὐτῶν κατεπλεύσαμεν. Ἐγὼ οὖν ἐν πολλῇ ἀμηχανίᾳ ἐκείμην, καὶ ἤδη ἐνόμιζον ἱκετείας τε ἀνωφελεῖς ἱκετεῦσαι, καὶ ὀλεθρίαν ἅψασθαι φυγῆς· ἀκμητὶ γὰρ ἔμελλον ἁλώσεσθαι Ἀθηναίοις, πρὸς τοὺς διώκοντας ὁ φεύγων ἐληλυθώς. ἀλλ' ἐπεὶ τοῖς μὲν ἐν τῇ νηῒ ἀγνὼς ἅπασιν εἶναι ἐδόκουν, τοῖς δ' ἐν τῷ στρατοπέδῳ ἐπιγνωσθῆναι ἐδεδίειν, οὐκ ἐξέλιπον τὴν ναῦν. οἱ σύμπλους δ' ὕποπτοι ἐγίγνοντο,
καί [1] τοι κακὸν αὐτοῖς γίνε- [1] καί τι
σθαι ἐδόκουν, καὶ οὐκ ἐπιτήδειος εἶναι ἐν τῷ πλεῖν· ὥστε καὶ ἐκβάλλειν ἐκ τῆς νεὼς ἐβούλοντο. ἐν τούτῳ δέ μοι κινδυνεύειν ἑστῶτι Διοπείθης ἀνὴρ τῶν συμπλεόντων ἡμῖν, γέ-
νος [1] βαργυλιήτης, καὶ πρό- [1] Βαργυλιάτης
τερον ἐνορῶν τι μοι πολλάκις, καὶ θαυμάζοντι ἐοικώς, ἔτι μᾶλλον τότε ἐσκέπτετο, καὶ τοῦτο ἰσχυρῶς ὅν περ ᾤετο αὐτὸς ὢν ἐφάνην. Καί μοι μόνος ἔγγιστα ἤδη ὢν ὀλίγῃ τῇ φωνῇ ἔλεγεν· Ἀκλεῶς ἐνυ-

ἐνυβρίζει σοι τὸ δαιμόνιον ὦ Θεμιστόκλεις, εἴ σοι τὴν σωτηρίαν τέθεικεν ἐν μόνῳ τῷ ἀγνοηθῆναι Θεμιστοκλεῖ ὄντι, τὸ σώζεσθαι ¹κεῖται. ἀλλ' ἔγωγε καὶ ἔγνωκά σε, καὶ τοῦτο μάλιστα ὡς ὀλέθριον ²δεδιέναι σοι σωτηρίαν ἴσως ἐργάσομαι. Ἐγὼ γάρ τοι εἰμὶ ἐκεῖνος, ὃν σὺ ἐρρύσω, ὅτε εἰς Ἀρτεμίσιον ἔμπορον καταπλεύσαντα ἀνδρὸς Ἑστιέως ἐχθροῦ ἰδίου ἕνεκα ἀποθανεῖν ὡς παρὰ βασιλέως πλέοντα ἠξίουν. Σὺ δέ, ὅπερ ἦν, ἀπιστήσας αὐτοῖς, ἔτι καὶ ἐκάκωσας τῆς ἐπιχειρήσεως. Καὶ οὔτε εὖ ἐπεπόνθεις ὑφ' ἡμῶν πρότερον, οὔτε πείσεσθαι προσεδόκας. ἡγεμὼν γὰρ ἦς βασιλεῖ ἀντίπαλος, καὶ ἄλλοις εὐεργεσίαν παρεῖχου· καὶ ἐγὼ ἀπεγνώκειν ἐκείνης τῆς χάριτος ἀμείψασθαι Θεμιστοκλέα, καὶ οὐδὲ ἐβουλόμην· οὐ γάρ σε ὧδε πράξειν, ὥστε καὶ ἡμῶν δεηθῆναι ἠλπίσαμεν. Ἀλλ' ὦ φέριστε, ἔφην ἐγώ, οὐδ' ἐμοὶ τοῦτο νῦν ἀτύχημα γέγονεν, εἰ καὶ ἐπὶ τὸ παρὰ σοῦ λαχεῖν ἀμοιβῆς ἀφῖγμαι, καὶ δύναταί με ταῦτ' ὠφελεῖν. σὺ δὲ ³χαίρεταί μοι· καί μοι εὐτύχημα ἔστω, εἴ σοι δύναμις ὧδε ἔχει, ὥστε σῶσαι Θεμι-

¹ ἴσ. κἂν τῷ λαθεῖν τὸ σώζεσθαι

² δεδοικότι σοι

³ ἴσ. σὺ δὲ χαῖρε τί μοι

accessisset, submissa voce ait. Turpiter est in te contumeliosa fortuna Themistocles, dum tuam in hoc vno salutem collocauit, si ignoreris, cum sis Themistocles; & euadere possis, si lateas. Ego verò te noui; & quod maximè vt exitiosum times, per hoc ego tibi salutem dabo. Is enim ego tibi sum, quem seruasti, quando mercator Artemisium delatus, propter hominem quendam Hestiensem priuatum inimicum, quasi Regis explorator ad mortem petebar. Tu verò, id quod res habebat, & fidem illis non habuisti; & praeterea propter facinus, quod aggressi erant, puniuisti, nec vllo à me antea beneficio affectus, nec afficiendum te sperans. Dux enim eras Regi aduersarius, & beneficia in alios conferebas. & nulla mihi spes erat fore, vt referrem Themistocli gratiam; immo nec volebam. numquam enim te futurum ea fortuna arbitrabar, vt mea opera indigeres. Ad quem ego; Nec mecum, inquam, infeliciter nunc agitur, optime vir; quando & ad persoluendam à te mihi gratiam deueni, & haec mihi prodesse possunt. Ego verò tibi salutem impartio; & prospera haec mihi for-

fortuna sit, si tantum vales, vt saluum præstes Themistoclem. Illico igitur nauis dominum ad me perducit, nã socius illi erat; & communicata re rogabat, vt quamprimum Naxo solueret. Ille verò indignabatur; & impetu quã potuit maximo egressus rẽ delaturus erat ad Athenienses. Hic ego nullis precibus vsus, sed minis etiam additis, dicturum me Atheniensibus, non ignarum rei, verum pecunia corruptum ipsum eripere me de Græcorũ manibus, timorem inieci. Quare mutato consilio præmium operis petebat; & ego promisi: soluentesq. noctu nauigauimus Ephesum. Ibi Persas quosdam reperi Cariæ custodes iussu Artabazi considentes. Et Xerxi quidem iam tuto poteram aperire qui essem; & profitebar nomen; & venisse aiebam magnas vtilitates allaturus domui Regis. Illi & promissionis verba perferebant ad Artabazum, meq. ad Phrygas ducebant; Artabazus enim erat in Phrygia. Qui ex me cum & cætera audisset, & meũ de adeundo Rege consilium, probauit, ac nulla interposita mora misit. Equos etiam duos, totidemq. famulos mihi largitur; missis ad hæc alijs tredecim

στοκλέα. αὐτίκα οὖν ἄγει τε πρός με τὸν δεσπότην τῆς νεὼς ἑταῖρον ὄντα αὐτοῦ, καὶ κοινωσάμενος ἐδεῖτο φεύγειν ἀπὸ τῆς Νάξου κατὰ τάχος. ὁ δὲ ἠγανάκτει, καὶ ὁρμῆς ὡς εἶχεν ἐξελθὼν [1] μηνύειν εἰς τὸ στρατόπεδον. Καὶ ἐγὼ δεήσει μὲν οὐδεμιᾷ ἐχρησάμην, ἀπειλὴν δὲ αὐτῷ τίθεμαι ἐρεῖν εἰς Ἀθηναίους· ὅτι με οὐκ ἀγνοῶν, ἀλλὰ χρήμασι διαφθαρεὶς σώζει ἐκ τῆς ἑλλάδος. Καὶ ὅ, τι ἄνθρωπος ἔδεισε, καὶ μεταβαλόμενος δωρεὰν τοῦ ἔργου ἠτεῖτο, ἐγὼ δὲ ὑπεσχόμην, καὶ νύκτωρ ἀναχθέντες ἐκομίσθημεν εἰς ἔφεσον. ἐκεῖ δὲ Περσῶν τινας καταλαμβάνω φύλακας Καρίας ὑπ' Ἀρταβάζου καθιζομένους. καὶ Ξέρξῃ μὲν ἤδη ἀδεῶς εἶχον ὅστις εἴην λέγειν· Καὶ τό, τι ὄνομα ἔφραζον, καὶ ὡς μέγα ὀνήσων τὸν βασιλέως οἶκον ἐλήλυθα. οἱ δὲ τήν τε ἐπαγγελίαν τοῦ λόγου πρὸς Ἀρτάβαζον ἐκόμιζον, ἐμέ τε ἦγον εἰς Φρύγας· ἦν γὰρ Ἀρτάβαζος ἐν Φρυγίᾳ. ὁ δὲ ἐπεὶ τά τε ἄλλα ἐξ ἐμοῦ, καὶ ὡς διέγνωκα πρὸς βασιλέα βαδίζειν ἤκουσε, ἐπῄνεσέ τε καὶ ἔπεμπεν εὐθύς. Καί μοι ἵππους δύο, καὶ ἴσους οἰκέτας δωρεῖται, καὶ ξυσκευάσα-

[1] ἴσ. ἔμελλε μηνύειν

καὶ δὲ ἄλλοις Περσῶν συνέπεμψεν, οἷς ἥ τε ὁδὸς καὶ τὰ ἐπιτήδεια ἔμελεν, αὐτοῖς [1] καμήλοις ἐχρῶντο. εἶδον δὲ ὄρη μὲν ὀλίγα, κοίλην δὲ [1] ἦλθον οὐχ ὑψηλήν, πεδία δὲ [1] ἐθεασάμην τε καὶ ὠδοῦσα γάλα καὶ οὐδαμῇ ἀνώμαλα. ᾠκεῖτο δὲ καὶ εἰργάζετο μάλιστ᾽ αὐτῶν τὰ κρείττω. ἡ δὲ ἔρημος θηρία τε καὶ ζώων ἄλλων ἔβοσκεν ἀγέλας. καὶ ποταμοὺς ἔπλευσα πολλούς, καὶ ἔθνεσι παντοίοις ἐμίγην. ἤδη δὲ ἀπὸ τῶν συνόδων καὶ τῆς περσίδος φωνῆς ἀντελαμβανόμην, καί [1] με κατ᾽ οὐκ ἡ ὁδὸς χαλεπῶς ἔτριβεν ὑπὸ τοῦ ἔτους. Καὶ ἥ τε ὁδὸς ἡμῖν ἐτελεύτα, καὶ παρὰ βασιλεῖ ὅποιπερ ὡρμήμεθα ἦμεν.

Ἐπεὶ δὲ ἐκομίσθη πρὸς αὐτὸν ἀγγελία, παρεῖναι ἐπὶ θύρας αὐτοῦ Θεμιστοκλέα τὸν Ἀθηναῖον, ἄγομαί τε ἐγγὺς αὐτοῦ, καὶ ἀχθεὶς ἄντικρυς τοῦ θρόνου, ὃ δὴ [1] με ἱστήκειν, ὃ δὴ κάθηται. καὶ περιθεασάμενος ὧδε ἔλεξεν· ὦ ξένε Ἀθηναῖε, λόγος μὲν ἤδη περὶ σοῦ πολὺς ἐν ἡμετέρῳ ἐφέρετο οἴκῳ· σύ τε ἅμα, καὶ Μήδων ἡ ἐν Σαλαμῖνι συμφορὰ παντὶ ἀνὰ στόμα ἦτε. σὺ δ᾽[1] ἔλοις ἂν πρὸς ἡμᾶς, πῶς θαρσήσας ἔχεις ὄψει τε ἐμῇ ὀφθῆναι, καὶ φωνῆς

[1] ἴσ. οἱ καὶ καμήλοις

[1] ἴσ. διῆλθον

[1] πεδιάδα τε ἐθεασάμην καὶ ᾄδουσαν χλόην, καὶ οὐδαμῇ ἀνώμαλον

[1] ἴσ. καί με οὐκέτι ἡ ὁδὸς χαλεπῶς ἔτριβεν ὑπὸ τοῦ ἔθους

[1] ἴσ. ἐγὼ μὲν εἱστήκειν, ὁ δὲ καθίζεται

[1] ἴσ. λέγοις

cim Perſis, quibus demandata erat cura itineris & commeatus; ij verò camelis vehebantur. in itinere montes vidi paucos, valles tranſiui nequaquam profundas. planitiem conſpexi & prætergreſſus ſum pulchram, & nuſquam inæqualem. inhabitata & culta erant in ijs præſtantiſſima quæque loca. Deſerta ſolitudo feras aliorumq. animalium greges alebat. Flumina tranaui multa; cum gentibus quamplurimis ſum congreſſus; iamq. ex congreſſionibus linguam quoque Perſicam intelligebam; & iter me iam aſſuetum non vexabat. Denique confecimus iter; & quo tendebamus, ad Regem peruenimus. Vt verò nuntiatum illi eſt, ad fores eius adeſſe Themiſtoclem Athenienſem, ducor ad ipſum; & ante ſolium ductus ego quidem ſtabam; at ille ſedit. Atque vbi me circumſpectauit: O hoſpes, inquit, Athenienſis, multus de te ſermo noſtræ domi erat: tuq. vna cum Medorum clade ad Salamina in ore omnium verſabamini. Age porro, dic nobis; Quomodo auſus es in conſpectum venire meum,

meum, & vocem audire? Tu ne ille Themiſtocles adueniſti, quem Medi aiunt extitiſſe cauſam, cur ego & Pater meus in Græcia non dominemur? Satius certè mihi foret Græcos habere, quàm te punire. Tu verò illius vice hòc nobis dediſti. Itaque laudabimus, & pœnas de te ſumemus. Hæc quidem ille; mihi verò neceſſitas ſubiecit adhibendam fraudem, quæ pro re nata bona ſit. illa igitur vtens dicebam. Supplicium fugiens ò Rex, ſub tuam tutelam veni. Siquidem Græci pœnas à me
Herodot. lib. 8. repetebant pro beneficijs in
Plutarch. in Themiſtocl. patrem tuum collatis: quòd amico in vos animo ſignificaſſem, vt claſſis properè in Salaminem adnauigaret, Græcis tunc inter ſe diſſidentibus ac turbatis, fugamq. in Peloponneſum ornantibus; tempusq. offerentibus, quo facile opprimi poſſent. Et cum pontem in Helleſponto excindere vellent, diſſuaſimus. Ex quo ſane tibi Medi ab Europa regreſſi ſunt; ego verò propter hæc ad ſupplicium vocabar. ſed fuga me præripui, vt te aliqua re iuuem, & me vlciſcar. & hæc ſe facturam promittit vir-

νῆς ἀκοῦσαι. Καὶ σὺ Θεμιστοκλῆς ἐκεῖνος ἐλήλυθας, ὃν Μῆδοι λέγουσιν αἴτιον ἐμοὶ γενέσθαι καὶ πατρὶ ἐμῷ μὴ ἄρχειν Ἑλλήνων. ἀλλ' ἄμεινον μὲν ἐμοὶ ἦν Ἕλληνας ἔχειν, ἢ σὲ τιμωρεῖσθαι· σὺ δὲ τοῦτό γε ἀντ' ἐκείνου παρέσχησαι ἡμῖν. ὥστε ἐπαινέσαντες κολάσομεν. Ταῦτα εἰπόντος αὐτοῦ παρίσταταί μοι ὑπ' ἀνάγκης ἐπαινέσαι τὴν ἀπάτην, ἣν καιρός τις ποιεῖ ἀγαθήν· χρῶμαι τε αὐτῇ, καὶ ἔλεγον· Κόλασιν ὦ βασιλεῦ φεύγοντες, ἐπὶ σὲ βοηθὸν ἀφίγμεθα· κολάζειν γὰρ ἔμελλον ἡμᾶς οἱ Ἕλληνες ἀντὶ τῆς εἰς πατέρα τὸν σὸν εὐεργεσίας· ὅτι ὑμῖν φίλα ἐνθυμούμενοι τόν τε ἐπὶ Σαλαμῖνα πλοῦν κατὰ τάχος ποιεῖσθαι ἠγγείλαμεν, διεστῶτος μὲν τότε καὶ τεταραγμένου τοῦ ἑλληνικοῦ, καὶ μέλλοντος ἐπὶ Πελοποννήσου φεύγειν· καὶ καιρὸν χρηστὸν ἐπιχειρήσεως παρέχοντες. τό, τε ζεῦγμα λύειν ἐθέλοντας ἐκωλύσαμεν. Καί σοι Μῆδοι μὲν διὰ τοῦτο μάλιστα ἀπενόστησαν ἐκ τῆς Εὐρώπης, ἐγὼ δὲ διὰ ταῦτα ἐπὶ τιμωρίαν ἠγόμην. ἔφθην δὲ φυγὰς γενόμενος, ὡς ἄν σέ τι ὀνήσω, καὶ ἐμαυτῷ δίκας εὕρωμαι. Καὶ ταῦτα ποιήσειν ἐπαγγέλλεται ἰσχύς, μεθ' ἧς ἐγὼ

πλείω κακὰ ἐργάσομαι τοὺς Ἕλληνας, ἢ ἐδόκουν μετ' ἐκείνων ἐργάσασθαι. ὁ δὲ εἶπεν· Ἐπειδὴ ἀποδώσεις ἡμῖν τὴν ἑλλάδα, ἣν διὰ σὲ ἀφῃρῆσθαι οἰόμεθα, χαῖρέ τε, καὶ οὐδενὸς χρηστοῦ ἀτυχήσεις· καί σου τοὺς λόγους πέρα τε καὶ ἔργῳ δώσομεν. Ἐκ τούτου ὦ Πολύγνωτε ἀνέτριβον ἐν τοῖς βασιλείοις τιμῆς τε τυγχάνων, καὶ ἀεὶ τὰ περὶ ἑλλήνων ἐξεταζόμενος. Καί μοι βασιλεὺς αὐτὸς, ἐπεὶ τῇ Περσῶν αὐτῶν ἤδη φωνῇ πολλὰ ἠμειβόμην, χρυσοῦν τε δωρεῖται ἀκινάκην, καὶ Περσικὴν ἐσθῆτα χρυσοῦ ὑφαντήν. ἐδωρεῖτο δὲ αὐτίκα καὶ οἱ περὶ αὐτὸν, ἐπεὶ τάχιστα ἤρξατο ἐκεῖνος. Καί [1] μου ἤδη Ἀρταβάζου ἧττον ἐνόμιζε πιστεύειν, καὶ ἐπὶ θάλατταν κατέπεμπεν ἐπὶ τὴν ἐκείνου στρατηγίαν. Καὶ οὐκ ἐσθῆτας ἔτι ἡμῖν οὐδὲ χρυσὸν, ἀλλὰ πόλεις τε ἤδη καὶ πολλὴν γῆν ἐχαρίζετο. ἀφελὼν γὰρ ἤδη τῆς ἑαυτοῦ βασιλείας Μυοῦντα καὶ Λάμψακόν τε καὶ τὴν ἐπὶ Μαιάνδρῳ Μαγνησίαν ἐμοὶ δίδωσιν. Καὶ Λάμψακον ἠλευθέρωσα, καὶ πολλῷ φόρῳ βαρυνομένην ἄπαντος ἀφῆκα. Μυοῦντα τὴν ἐν Μαγνησίᾳ καὶ αὐτὴν Μαγνησίαν καρποῦμαι. ἀλλ' οὔτε

virtus, qua Græcos pluribus afficiam malis, quàm fecisse cum illis sum visus. & ille: Quandoquidem reddes nobis Græciam, quæ vt opinamur, tua causa non est in nostram ditionem redacta; bono sis animo; & nihil boni tibi deerit; atque hæc tua verba efficiemus vt in actum erumpant. Post hæc Polygnote versabar in regia, in honore habitus, deq. statu Græcorum assiduè disquirentibus respondens. Et ipse me Rex, postquam cœpi Persarum lingua plerumque illi responsa dare, aureo donauit acinace, & Persica veste auro contexta. Donarunt etiam mox exemplo Regis eius optimates. Iamq. non minus mihi quàm Artabazo fidem habendam arbitrabatur, & ad maritimam oram mittebat in eius præfecturam. Nec vestes iam nobis, aut aurum, sed vrbes & agri plurimum largiebatur, subtractasq. de suo regno Myunta, Lampsacum, & Magnesiam ad Mæandrum sitam mihi dedit. & Lampsacum liberam feci, & graui, quo premebatur, vectigal sustuli. Myunta Magnesiæ, & Magnesiam ipsam ad ferendos

[1] ἴσ. καί μοι ἤδη Ἀρταβάζου οὐχ ἧττον

Plutarch. in Themistocl. Diodor. lib. 11.

τῆς mihi

mihi prouentus habeo. sed neque ob concessam potestatem, neque ob fortunæ amplitudinem, vllam percipio voluptatem. esse enim mihi satis rerum copiæ video; quibus dum carebamus, exilij molestias sentiebamus; at non omnes qui amici mihi estis, oblectat hæc affluentia. tanta verò in potestate constituti, cum Græci simus, fortasse contenti erimus: Verum ego hæc angustias & necessitatem duco, non prosperitatem. Nunc verò etiam maiori calamitate premimur. Nam Rex memoria tenet, & ad suscipiendam in Græcos expeditionem excitat. & alter iam de hoc nuntius venit. & exercitui nos præficit duces; & Medos Themistocli subijciet. & ibo ego bellum Athenis illaturus, & pugnabo cum Nauarcho Atheniensium. Multa erunt alia, hoc nunquam erit.

τῆς ἐξουσίας, οὔτε τῶν χρημάτων μετά τινος τέρψεως αἰσθανόμεθα. ἀλλὰ χρημάτων μὲν ἅλις ἐστί μοι, καὶ ὅσα ¹ ἐνεργεῖ τὴν ψυχὴν μόνον ἡμῶν ἔσωζεν· τῆς γὰρ νῦν παρούσης ἀφθονίας οὐδ' οἱ φίλοι ἅπαντες ἀπολαύετε. ἐξουσίας δὲ τοιαύτης ἴσως δυνάμεθα Ἕλληνες ὄντες ἀγαπᾶν. ὥστε ¹ ἐπιστατῶν ἐγὼ καὶ ἀνάγκην τὰ παρόντα μᾶλλον ἢ εὐτυχίαν ἡγοῦμαι. Νῦν δὲ δὴ καὶ μᾶλλον ὑπὸ συμφορᾶς καταλαμβανόμεθα. μέμνηται γὰρ καὶ ἐγείρει τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν βασιλεύς· καὶ ταῦτα ὑπὸ δευτέρας ἤδη κεκόμισται ἀγγελίας. Καὶ ἡμᾶς ἄρα τοῦ στρατοῦ προβάλλεται ἡγεμόνας· καὶ Μήδους ὑποτάξει Θεμιστοκλεῖ· καὶ στρατεύσομαι ἐπ' Ἀθήνας ἐγὼ, καὶ τῷ Ἀθηναίων ¹ ναυαρχήσαντι μαχοῦμαι. πολλὰ ἄλλα ἔσται, τοῦτο δὲ οὐδέποτε.

¹ ἐναργῆ

¹ ἴσ. σείταν

¹ ναυαρχήσοντι

Argumentum XXI. Epistolæ.

SCripta videtur postrema hæc epistola è Perside, cum iam fortunis esset auctus à Xerxe Themistocles. petit enim ad se mitti, quæ illi preciosiora remanserant.

Θεμιστοκλῆς Τημενίδᾳ χαίρειν.

Τῶν κρατήρων μοι τῶν ἀργυρῶν τοὺς μεγίστους τέσσαρας, καὶ τῶν θυμιατηρίων τῶν χρυσῶν, ἐφ' οἷς ἐπιγέγραπται τὰ Ἀσσύρια, τὰ παλαιὰ γράμματα· οὐχ ἃ Δαρεῖος ὁ πατὴρ Ξέρξου Πέρσαις ἔναγχος ἔγραψε· θωρακάς τε σιδηροῦς ἐκείνων, ὧν ἔδειξάς μοι τῶν παρὰ Ἀδμήτου, τοὺς ἡμίσεις ἀπόπεμψον, μὴ βραδέως μόνον, μηδὲ εἰκαίως, μηδὲ ἐκ Κορίνθου ἐνθέμενος· ἀλλὰ τάχιστα ἀποστείλας, καὶ κάλλιστα πιστώσας, καὶ πάντοθεν μᾶλλον ἢ Κεγχρέαθεν ἀναγομένῳ τοὺς κομίζοντας ἐπιβήσας σκάφει. ἔρρωσο.

ΤΕΛΟΣ.

Themiſtocles Temenidæ S.

CRateres meos argenteos quatuor maximos; & acerras aureas, quibus inſcriptæ ſunt antiquæ Aſſyriorum litteræ; non eæ, quas Darius pater Xerxis recens intulit Perſis: & ferreorum thoracum, quos ab Admeto acceptos mihi oſtenderas, partem dimidiam ad me mitte; dum ſero id non facias, aut nulla adhibita diligentia, aut Corintho deuehenda cures: ſed quam celerrimè mittas, & optime repoſita concredas; atque in nauigium quouis è loco potius, quàm Cenchreis ſoluens, ea laturos imponas. Vale.

FINIS.

E R R A T A.

pag. 8	*lin.* 8	*ſcribendum* τὸν ἡμέτερον	
12	4	cogitantes	
18	5	& moleſtè	
21		*Epiſtola ſexta reponenda eſt ſuo in loco, vt ſit ipſa nona, & nona ſit ſexta.*	Epist. xix ponatur loco iii. et una est iii situ, et deinceps loco eius, quae vi est posita, ponatur ix, et ut ordine vii. et quae sexto loco est posita, sit x.
23	2	ne forte ipſi	
25	10	*à fi.* ἰχθεὶς' εἶναι. *in marg.* 'ἴσ. ἧς. *& ſequitur textus;* μᾶλλον δὲ εἰ ὃ ἐπιθῆτε.	
34	17	videbatur ſtudioſa	
38	14	*à fine,* καταγαγὼν	
44	13	*à fine, in marg.* φόβῆσθε	
45	21	ταῦτα μοι ὅπως γε	
51		*lin. Argumenti epiſt.* 17. *à fine* 5. magnos honores	
		ibid. initio epiſtolæ 17. Et ſi diu	
56	4	*à fi.* διωνήσῃ	
57	3	*à fi.* Lacedæmonius ſit	
59	7	*in marg.* δέ μοι	

